Besides the passage for the dry residue, all these animals have genitals for the moist residue, carrying the seed in males, the fetus in females. The egg-laying fish have the uterus by the loin, and egg-layers without a genital, even tortoises with a bladder, use the dry residue's passage. The passages are double for generation, the moist residue sharing the seed's; ducts and uteri must be fixed, in front in the live-bearers, at the loin and back in the egg-layers, and both ways in those that do both. The males' ducts are fixed by the spine; the dolphin's testicles lie hidden in the belly.

Ἔστι δὲ καὶ ἕτερος ὁ πόρος δι᾽ οὗ ἥ τε ξηρὰ
There-is and also other the duct through which the both dry
περίττωσις ἐξέρχεται καὶ δι᾽ οὗ ἡ ὑγρὰ τούτοις πᾶσιν.
residue goes-out and through which the moist for-these all
Διὸ ἔχουσιν αἰδοῖα τὰ τοιαῦτα πάντα καὶ τὰ ἄρρενα καὶ
Wherefore have genitals the such all both the males and

τὰ θήλεα, καθ' ὃ ἐκκρίνεται τὸ περίττωμα τὸ ὑγρὸν καὶ
the females by which is-excreted the residue the moist and
τοῖς μὲν ἄρρεσι τὸ σπέρμα, τοῖς δὲ θήλεσι τὸ κύημα. Οὗτος
in-the indeed males the seed in-the but females the fetus This
δ' ἐπάνω καὶ ἐν τοῖς προσθίοις ὑπάρχει ὁ πόρος τῆς ξηρᾶς
and above and in the front-parts is the duct of-the dry
τροφῆς. Ὅσα δ' ᾠοτοκεῖ μὲν ἀτελὲς δ' ᾠόν, οἷον ὅσοι
nourishment As-many-as but lay-eggs indeed incomplete but egg such-as as-many-as
τῶν ἰχθύων ᾠοτοκοῦσιν, οὗτοι δ' οὐχ ὑπὸ τῇ γαστρὶ ἀλλὰ
of-the fish lay-eggs these but not under the belly but
πρὸς τῇ ὀσφύϊ ἔχουσι τὰς ὑστέρας. Οὔτε γὰρ ἐμποδίζει ἡ
at the loin have the uteri Neither for hinders the
τοῦ ᾠοῦ αὔξησις, διὰ τὸ ἔξω τελειοῦσθαι καὶ προϊέναι τὸ
of-the egg growth because-of the outside to-be-completed and to-go-forth the
αὐξανόμενον· ὅ τε πόρος ὁ αὐτός ἐστι καὶ ἐν τοῖς μὴ ἔχουσι
growing the and duct the same is also in the not having
γεννητικὸν αἰδοῖον, ὁ τῆς ξηρᾶς τροφῆς πᾶσι τοῖς ᾠοτόκοις
generative genital the of-the dry nourishment for-all the egg-laying
καὶ τοῖς ἔχουσιν αὐτῶν κύστιν, οἷον ταῖς χελώναις.
even for-those having of-them bladder such-as for-the tortoises
Τῆς γενέσεως γὰρ ἕνεκεν, οὐ τῆς τοῦ ὑγροῦ περιττώματος
Of-the generation for for-the-sake not of-the of-the moist residue
ἐκκρίσεως εἰσὶ διττοὶ οἱ πόροι· διὰ δὲ τὸ ὑγρὰν εἶναι τὴν
excretion are double the ducts because-of and the moist to-be the
φύσιν τοῦ σπέρματος καὶ ἡ τῆς ὑγρᾶς τροφῆς περίττωσις
nature of-the seed also the of-the moist nourishment residue
κεκοινώνηκε τοῦ αὐτοῦ πόρου. Δῆλον δὲ τοῦτο ἐκ τοῦ
has-shared of-the same duct Clear and this from the
σπέρμα μὲν πάντα φέρειν τὰ ζῷα, περίττωμα δὲ μὴ πᾶσι
seed indeed all to-bear the animals residue but not in-all
γίνεσθαι ὑγρόν. Ἐπεὶ οὖν δεῖ καὶ τοὺς τῶν ἀρρένων
to-come-to-be moist Since then it-is-needful both the of-the males

πόρους τοὺς σπερματικοὺς ἐρηρεῖσθαι καὶ μὴ πλανᾶσθαι,
ducts the seminal to-be-fixed and not to-wander
καὶ τοῖς θήλεσι τὰς ὑστέρας, τοῦτο δ' ἀναγκαῖον ἢ
and for-the females the uteri this and necessary either
πρὸς τὰ πρόσθια τοῦ σώματος ἢ πρὸς τὰ πρανῆ
toward the front of-the body or toward the back
συμβαίνειν, τοῖς μὲν ζῳοτόκοις διὰ τὰ ἔμβρυα ἐν τοῖς
to-happen for-the indeed live-bearing because-of the embryos in the
προσθίοις αἱ ὑστέραι, τοῖς δ' ᾠοτόκοις πρὸς τῇ ὀσφύϊ καὶ
front the uteri for-the but egg-laying at the loin and
τοῖς πρανέσιν. Ὅσα δ' ᾠοτοκήσαντα ἐν αὑτοῖς ζῳοτοκεῖ
the back As-many-as but having-laid-eggs in themselves bear-live
ἐκτός, ταῦτα δ' ἀμφοτέρως ἔχει διὰ τὸ μετειληφέναι
outside these and in-both-ways have because-of the to-have-shared
ἀμφοτέρων καὶ εἶναι καὶ ζῳοτόκα καὶ ᾠοτόκα. Τὰ μὲν
of-both and to-be both live-bearing and egg-laying The indeed
γὰρ ἄνω τῆς ὑστέρας, καὶ ᾗ γίγνεται τὰ ᾠά, ὑπὸ τὸ
for upper of-the uterus and where come-to-be the eggs under the
ὑπόζωμα πρὸς τῇ ὀσφύϊ ἐστὶ καὶ τοῖς πρανέσι, προϊούσης
diaphragm at the loin is and the back advancing
δὲ κάτω ἐπὶ τῇ γαστρί· ταύτῃ γὰρ ζῳοτοκεῖ ἤδη.
and downward on the belly here for it-bears-live already
Ὁ δὲ πόρος εἷς καὶ τούτοις τῆς τε ξηρᾶς περιττώσεως
The and duct one also for-these of-the both dry residue
καὶ τῆς ὀχείας· οὐθὲν γὰρ ἔχει τούτων αἰδοῖον, καθάπερ
and of-the copulation none for has of-these genital just-as
εἴρηται πρότερον, ἀπηρτημένον. Ὁμοίως δ' ἔχουσι καὶ οἱ
has-been-said before hanging-free Likewise and have also the
τῶν ἀρρένων πόροι, καὶ τῶν ἐχόντων καὶ τῶν μὴ ἐχόντων
of-the males ducts both of-the having and of-the not having
ὄρχεις, ταῖς τῶν ᾠοτόκων ὑστέραις. Πᾶσι γὰρ πρὸς τοῖς
testes to-the of-the egg-laying uteri For-all for at the

πρανέσι προσπεφύκασι καὶ κατὰ τὸν τόπον τῆς ῥάχεως.
back they-are-attached and at the place of-the spine
Δεῖ μὲν γὰρ μὴ πλανᾶσθαι ἀλλ᾽ ἑδραίους εἶναι, τοιοῦτος
It-is-needful indeed for not to-wander but fixed to-be such
δ᾽ ὁ ὄπισθεν τόπος· οὗτος γὰρ τὸ συνεχὲς παρέχει καὶ
and the behind place this for the continuity provides and
τὴν στάσιν. Τοῖς μὲν οὖν ἐντὸς ἔχουσι τοὺς ὄρχεις εὐθὺς
the steadiness For-the indeed then inside having the testes at-once
ἐρηρεισμένοι εἰσὶν ἅμα τοῖς πόροις, καὶ τοῖς ἐκτὸς δ᾽
fixed they-are together-with the ducts and for-the outside and
ὁμοίως· εἶτ᾽ ἀπαντῶσιν εἰς ἓν πρὸς τὸν τοῦ αἰδοίου τόπον.
likewise then they-meet into one at the of-the genital place
Ὁμοίως δὲ καὶ τοῖς δελφῖσιν οἱ πόροι ἔχουσιν· ἀλλὰ τοὺς
Likewise and also in-the dolphins the ducts are but the
ὄρχεις ἔχουσι κεκρυμμένους ὑπὸ τὸ περὶ τὴν γαστέρα κύτος.
testes they-have hidden under the about the belly cavity
Πῶς μὲν οὖν ἔχουσι τῇ θέσει περὶ τὰ μόρια τὰ συντελοῦντα
How indeed then they-are in-the position about the parts the contributing
πρὸς τὴν γένεσιν, καὶ διὰ τίνας αἰτίας, εἴρηται·
toward the generation and because-of what causes it-has-been-said

Among the bloodless animals the parts for generation are not the same as in the blooded, nor among themselves. There are four kinds: crustaceans, cephalopods, insects, and testaceans; whether the last couple is unclear, though most evidently do not. The crustaceans couple like the animals that pass urine backward, one lying on its back and the other on its belly, interlocking their tails, which are too long to let one mount the other. The males have thin seminal ducts, the females a membranous uterus beside the gut, split on either side, in which the egg forms.

Τῶν δ' ἄλλων ζῴων τῶν ἀναίμων οὐχ ὁ αὐτὸς τρόπος
Of-the and other animals of-the bloodless not the same way
τῶν μορίων τῶν πρὸς τὴν γένεσιν συντελούντων οὔτε
of-the parts of-the toward the generation contributing neither
τοῖς ἐναίμοις οὔθ' ἑαυτοῖς. Ἔστι δὲ γένη τέτταρα τὰ
as-in-the blooded nor among-themselves There-are and kinds four the
λοιπά, ἓν μὲν τὸ τῶν μαλακοστράκων, δεύτερον δὲ τὸ
remaining one indeed the of-the crustaceans second and the
τῶν μαλακίων, τρίτον δὲ τὸ τῶν ἐντόμων, καὶ τέταρτον
of-the cephalopods third and the of-the insects and fourth
τὸ τῶν ὀστρακοδέρμων. Τούτων δὲ περὶ μὲν πάντων
the of-the testaceans Of-these and about indeed all
ἄδηλον, τὰ δὲ πλεῖστα ὅτι οὐ συνδυάζεται φανερόν·
unclear the but most that not couple evident
τίνα δὲ συνίσταται τρόπον, ὕστερον λεκτέον. Τὰ δὲ
in-what but they-are-constituted way later must-be-said The and
μαλακόστρακα συνδυάζεται μὲν ὥσπερ τὰ ὀπισθουρητικά,
crustaceans couple indeed just-as the backward-urinating
ὅταν τὸ μὲν ὕπτιον τὸ δὲ πρανὲς ἐπαλλάξῃ τὰ
when the-one indeed supine the-other and prone interlock the
οὐραῖα· τοῖς γὰρ ὑπτίοις πρὸς τὰ πρανῆ ἐπιβαίνειν
tail-parts for-the for supine on the prone to-mount

ἐμποδίζει τὰ οὐραῖα μακρὰν ἔχοντα τὴν ἀπάρτησιν τῶν
hinder the tail-parts long having the projection of-the
πτερυγίων. Ἔχουσι δ' οἱ μὲν ἄρρενες λεπτοὺς πόρους
flaps Have and the indeed males thin ducts
θορικούς, αἱ δὲ θήλειαι ὑστέρας ὑμενώδεις παρὰ τὸ ἔντερον,
seminal the but females uteri membranous beside the intestine
ἔνθεν καὶ ἔνθεν ἐσχισμένας· ἐν αἷς ἐγγίνεται τὸ ᾠόν.
on-this-side and on-that split in which comes-to-be-in the egg

XV · THE CEPHALOPODS

Cephalopods couple mouth to mouth, tentacles interlaced, since nature bent the residue's outlet to the mouth. One egg divides into many, laid incomplete as in fish. They couple where the shared duct opens under the mantle. The tentacle the fishermen say the octopus couples with only joins them; why they couple back to back is unknown.

Τὰ δὲ μαλάκια συμπλέκεται μὲν κατὰ τὸ στόμα,
The and cephalopods intertwine indeed at the mouth
ἀντερείδοντα καὶ διαπτύττοντα τὰς πλεκτάνας, συμπλέκεται
pressing-against and unfolding the tentacles intertwine
δὲ τὸν τρόπον τοῦτον ἐξ ἀνάγκης· ἡ γὰρ φύσις παρὰ
and the way this of necessity the for nature beside
τὸ στόμα τὴν τελευτὴν τοῦ περιττώματος συνήγαγε
the mouth the end of-the residue brought-together
κάμψασα, καθάπερ εἴρηται πρότερον ἐν τοῖς περὶ τῶν
having-bent just-as has-been-said before in the about the
μορίων λόγοις. Ἔχει δ' ἡ θήλεια μὲν ὑστερικὸν μόριον
parts discourses Has and the female indeed uterine part
φανερῶς ἐν ἑκάστῳ τούτων τῶν ζῴων· ᾠὸν γὰρ ἴσχει
evidently in each of-these the animals egg for it-holds

τὸ μὲν πρῶτον ἀδιόριστον, ἔπειτα διακρινόμενον γίνεται
the indeed first undistinguished then being-divided becomes
πολλά, καὶ ἀποτίκτει ἕκαστον τούτων ἀτελές, καθάπερ
many and lays each of-these incomplete just-as
καὶ οἱ ᾠοτοκοῦντες τῶν ἰχθύων. Ὁ δὲ πόρος ὁ αὐτὸς
also the egg-laying of-the fish The and duct the same
τοῦ περιττώματος καὶ τοῦ ὑστερικοῦ μορίου καὶ τοῖς
of-the residue and of-the uterine part also in-the
μαλακοστράκοις καὶ τούτοις. Ἐστὶ γὰρ ᾗ τὸν θορὸν
crustaceans and in-these It-is for where the milt
ἀφίησι διὰ τοῦ πόρου. Ταῦτα δ' ἐστὶν ἐν τοῖς ὑπτίοις
it-emits through the duct These and are in the supine
τοῦ σώματος, ᾗ τὸ κέλυφος ἀφέστηκε καὶ ἡ θάλαττα
of-the body where the mantle stands-open and the sea
εἰσέρχεται. Διὸ ὁ συνδυασμὸς κατὰ τοῦτο γίνεται τῷ
enters Wherefore the coupling at this occurs for-the
ἄρρενι πρὸς τὴν θήλειαν· ἀναγκαῖον γάρ, εἴπερ ἀφίησιν ὁ
male toward the female necessary for if-indeed emits the
ἄρρην εἴτε σπέρμα εἴτε μόριον εἴτε ἄλλην τινὰ δύναμιν,
male whether seed or part or other some power
κατὰ τὸν ὑστερικὸν πόρον πλησιάζειν. Ἡ δὲ τῆς πλεκτάνης
at the uterine duct to-approach The and of-the tentacle
τοῦ ἄρρενος διὰ τοῦ αὐλοῦ δίεσις ἐπὶ τῶν πολυπόδων,
of-the male through the funnel insertion in-the-case-of the octopuses
ᾗ φασὶν ὀχεύειν πλεκτάνῃ οἱ ἁλιεῖς, συμπλοκῆς
by-which they-say it-mounts with-the-tentacle the fishermen of-intertwining
χάριν ἐστίν, ἀλλ' οὐχ ὡς ὀργάνου χρησίμου πρὸς τὴν
for-the-sake is but not as of-organ useful for the
γένεσιν· ἔξω γάρ ἐστι τοῦ πόρου καὶ τοῦ σώματος. Ἐνίοτε
generation outside for it-is of-the duct and of-the body Sometimes

δὲ συνδυάζονται καὶ ἐπὶ τὰ πρανῆ τὰ μαλάκια· πότερον δὲ
and they-couple also on the back the cephalopods whether and
γενέσεως χάριν ἢ δι᾽ ἄλλην αἰτίαν, οὐθὲν ὤπταί πω.
of-generation for-the-sake or because-of other cause nothing has-been-seen yet

XVI · THE INSECTS

Some insects couple and are born from their own kind, as locusts, cicadas, spiders, wasps, and ants; some couple but generate only larvae, and are born from rotting moist or dry matter, as fleas, flies, and cantharids; some neither come from animals nor couple, as gnats and mosquitoes. In most that couple the female is larger, as in egg-laying fish and quadrupeds, for the bulk of the eggs; the males show no seminal ducts, and in most the female inserts a part into the male from below. Her uterine part is split beside the gut, as the locusts show. Semen comes next, then milk.

Τῶν δ᾽ ἐντόμων τὰ μὲν συνδυάζεται, καὶ ἡ γένεσις
Of-the and insects the-ones indeed couple and the generation
αὐτῶν ἐστὶν ἐκ ζῴων συνωνύμων, καθάπερ ἐπὶ τῶν
of-them is from animals of-the-same-name just-as in-the-case-of the
ἐναίμων, οἷον αἵ τε ἀκρίδες καὶ οἱ τέττιγες καὶ τὰ φαλάγγια
blooded such-as the both locusts and the cicadas and the spiders
καὶ οἱ σφῆκες καὶ οἱ μύρμηκες, τὰ δὲ συνδυάζεται μὲν
and the wasps and the ants the-others and couple indeed
καὶ γεννῶσιν, οὐχ ὁμογενῆ δ᾽ αὑτοῖς ἀλλὰ σκώληκας
and generate not same-kind but with-themselves but larvae
μόνον, οὐδὲ γίγνονται ἐκ ζῴων ἀλλ᾽ ἐκ σηπομένων
only nor come-to-be from animals but from rotting
ὑγρῶν, τὰ δὲ ξηρῶν, οἷον αἵ τε ψύλλαι καὶ αἱ μυῖαι
moist-things the-others and dry such-as the both fleas and the flies
καὶ αἱ κανθαρίδες. Τὰ δ᾽ οὔτ᾽ ἐκ ζῴων γίνονται οὔτε
and the cantharids The-others and neither from animals come-to-be nor

συνδυάζονται, καθάπερ ἐμπίδες τε καὶ κώνωπες καὶ πολλὰ
couple such-as gnats both and mosquitoes and many
τοιαῦτα γένη. Τῶν δὲ συνδυαζομένων ἐν τοῖς πλείστοις τὰ
such kinds Of-the and coupling in the most the
θήλεα μείζω τῶν ἀρρένων ἐστίν. Πόρους δὲ τὰ ἄρρενα
females larger than-the males are Ducts and the males
θορικοὺς οὐ φαίνεται ἔχοντα. Ἀφίησι δὲ ὡς ἐπὶ τὸ πλεῖστον
seminal not appear having Emits and as for the most
εἰπεῖν τὸ ἄρρεν εἰς τὸ θῆλυ οὐδὲν μόριον, ἀλλὰ τὸ θῆλυ
to-say the male into the female no part but the female
εἰς τὸ ἄρρεν κάτωθεν ἄνω. Τεθεώρηται δὲ τοῦτο ἐπὶ
into the male from-below upward It-has-been-observed and this in-the-case-of
πολλῶν, καὶ περὶ τοῦ ἀναβαίνειν ὡσαύτως, τοὐναντίον δ'
many and about the mounting likewise the-opposite but
ἐπ' ὀλίγων· ὥστε δὲ γένει διελεῖν, οὔπω συνεώραται.
in-the-case-of few so-that and by-kind to-divide not-yet it-has-been-observed
Σχεδὸν δὲ τοῦτο καὶ ἐπὶ τῶν ᾠοτόκων ἰχθύων τῶν
Nearly and this also in-the-case-of the egg-laying fish the
πλείστων ἐστί, καὶ ἐπὶ τῶν τετραπόδων καὶ ᾠοτόκων·
most is and in-the-case-of the quadrupeds and egg-laying
τὰ γὰρ θήλεα μείζω τῶν ἀρρένων ἐστὶ διὰ τὸ
the for females larger than-the males are because-of the
συμφέρον πρὸς τὸν γινόμενον αὐτοῖς ὑπὸ τῶν ᾠῶν ὄγκον
advantage toward the arising for-them from the eggs bulk
ἐν τῇ κυήσει. Τοῖς δὲ θήλεσιν αὐτῶν τὸ ταῖς ὑστέραις
in the gestation For-the and females of-them the to-the uteri
ἀνάλογον μόριον ἐσχισμένον ἐστὶ παρὰ τὸ ἔντερον, ὥσπερ
analogous part split is beside the intestine just-as
καὶ τοῖς ἄλλοις· ἐν ᾧ ἐγγίγνεται τὰ κυήματα. Δῆλον
also for-the others in which come-to-be-in the fetuses Clear
δὲ τοῦτο ἐπί τε τῶν ἀκρίδων, καὶ ὅσα μέγεθος
and this in-the-case-of both the locusts and as-many-as size

αὐτῶν ἔχει, συνδυάζεσθαι πεφυκότων· τὰ γὰρ πλεῖστα
of-them have to-couple being-natural the for most
μικρὰ λίαν τῶν ἐντόμων ἐστίν. Τὰ μὲν οὖν περὶ τὴν
small too of-the insects are The indeed then about the
γένεσιν ὄργανα τοῖς ζῴοις, περὶ ὧν οὐκ ἐλέχθη πρότερον,
generation organs for-the animals about which not was-said before
τοῦτον ἔχει τὸν τρόπον· τῶν δ' ὁμοιομερῶν ἀπελείφθη
this have the way of-the and uniform it-was-left
περὶ γονῆς καὶ γάλακτος, περὶ ὧν καιρός ἐστιν εἰπεῖν,
about semen and milk about which the-right-time is to-speak
περὶ μὲν γονῆς ἤδη, περὶ δὲ γάλακτος ἐν τοῖς ἐχομένοις.
about indeed semen now about and milk in the following

XVII · IS THE SEED FROM THE WHOLE BODY?

Blooded animals plainly emit seed; whether all males do, what the female gives, and what seed and menses are must be asked, first whether seed comes from the whole body. That claim's four proofs: the pleasure of intercourse, the mutilated born of the mutilated, likeness to parents part by part, and each part's own seed. Even scars and a father's brand in Chalcedon are inherited.

Τὰ μὲν γὰρ προΐεται φανερῶς σπέρμα τῶν ζῴων, οἷον
The-ones indeed for emit evidently seed of-the animals such-as
ὅσα αὐτῶν ἔναιμα τὴν φύσιν ἐστί, τὰ δ' ἔντομα καὶ τὰ
as-many-as of-them blooded in-the nature are the but insects and the
μαλάκια ποτέρως, ἄδηλον. Ὥστε τοῦτο θεωρητέον, πότερον
cephalopods in-which-way unclear So-that this must-be-studied whether
πάντα προΐεται σπέρμα τὰ ἄρρενα ἢ οὐ πάντα, καὶ εἰ μὴ
all emit seed the males or not all and if not
πάντα, διὰ τίν' αἰτίαν τὰ μὲν τὰ δ' οὔ· καὶ τὰ
all because-of what cause the-ones indeed the-others and not and the

θήλεα δὲ πότερον συμβάλλεται σπέρμα τι ἢ οὔ, καὶ εἰ
females and whether contribute seed some or not and if
μὴ σπέρμα, πότερον οὐδ᾽ ἄλλο οὐθέν, ἢ συμβάλλεται μέν
not seed whether not-even other anything or contribute indeed
τι, οὐ σπέρμα δέ. Ἔτι δὲ καὶ τὰ προϊέμενα σπέρμα
something not seed but Further and also the emitting seed
τί συμβάλλεται διὰ τοῦ σπέρματος πρὸς τὴν γένεσιν,
what contribute through the seed toward the generation
σκεπτέον, καὶ ὅλως τίς ἐστιν ἡ τοῦ σπέρματος φύσις
it-must-be-examined and generally what is the of-the seed nature
καὶ ἡ τῶν καλουμένων καταμηνίων, ὅσα ταύτην τὴν
and the of-the so-called menses as-many-as this the
ὑγρότητα προΐεται τῶν ζῴων. Δοκεῖ δὲ πάντα γίνεσθαι
moisture emit of-the animals It-seems and all to-come-to-be
ἐκ σπέρματος, τὸ δὲ σπέρμα ἐκ τῶν γεννώντων. Διὸ
from seed the and seed from the generating-ones Wherefore
τοῦ αὐτοῦ λόγου ἐστί, πότερον καὶ τὸ θῆλυ καὶ τὸ ἄρρεν
of-the same account it-is whether both the female and the male
προΐεται ἄμφω ἢ θάτερον μόνον, καὶ πότερον ἀπὸ παντὸς
emit both or one-of-the-two only and whether from all
ἀπέρχεται τοῦ σώματος ἢ οὐκ ἀπὸ παντός· εὔλογον γάρ,
comes-away the body or not from all reasonable for
εἰ μὴ ἀπὸ παντός, μηδ᾽ ἀπ᾽ ἀμφοτέρων τῶν γεννώντων,
if not from all not-even from both the generating-ones
διόπερ ἐπισκεπτέον, ἐπειδὴ φασί τινες ἀπὸ παντὸς
wherefore it-must-be-examined since say some from all
ἀπιέναι τοῦ σώματος, περὶ τούτου πῶς ἔχει πρῶτον.
to-come-away the body about this how it-is first
Ἔστι δὲ σχεδόν, οἷς ἄν τις χρήσαιτο τεκμηρίοις
There-are and nearly with-which — anyone would-use proofs
ὡς ἀφ᾽ ἑκάστου τῶν μορίων ἀπιόντος τοῦ σπέρματος,
that from each of-the parts coming-away the seed

τέτταρα, πρῶτον μὲν ἡ σφοδρότης τῆς ἡδονῆς· μᾶλλον
four first indeed the intensity of-the pleasure more
γὰρ ἡδὺ πλέον ταὐτὸ γινόμενον πάθος, πλέον δὲ τὸ πᾶσι
for pleasant more the-same arising affection more and the for-all
τοῖς μορίοις ἢ τὸ ἑνὶ ἢ ὀλίγοις συμβαῖνον αὐτῶν. Ἔτι
the parts than the for-one or for-few happening of-them Further
τὸ ἐκ κολοβῶν κολοβὰ γίνεσθαι· διὰ μὲν γὰρ τὸ τοῦ
the from mutilated mutilated to-come-to-be because-of indeed for the of-the
μορίου ἐνδεὲς εἶναι οὐ βαδίζειν σπέρμα ἐντεῦθέν φασιν, ὅθεν
part deficient to-be not to-go seed from-there they-say whence
δ' ἂν μὴ ἔλθῃ, τοῦτο συμβαίνειν μὴ γίνεσθαι, πρὸς δὲ
but — not it-come this to-happen not to-come-to-be in-addition-to and
τούτοις αἱ ὁμοιότητες πρὸς τοὺς γεννήσαντας· γίνονται
these the likenesses to the generators they-come-to-be
γὰρ ἐοικότες, ὥσπερ καὶ ὅλον τὸ σῶμα, καὶ μόρια μορίοις·
for resembling just-as also whole the body also parts to-parts
εἴπερ οὖν καὶ τοῦ ὅλου αἴτιον τῆς ὁμοιότητος τὸ ἀφ' ὅλου
if-indeed then also of-the whole cause of-the likeness the from whole
ἐλθεῖν τὸ σπέρμα, καὶ τοῖς μορίοις αἴτιον ἂν εἴη τὸ ἀφ'
to-come the seed also for-the parts cause — would-be the from
ἑκάστου τι τῶν μορίων ἐλθεῖν. Ἔτι δὲ καὶ εὔλογον
each something of-the parts to-come Further and also reasonable
ἂν εἶναι δόξειεν, ὥσπερ καὶ τοῦ ὅλου ἐστί τι ἐξ οὗ
— to-be would-seem just-as also of-the whole there-is something from which
γίνεται πρῶτον, οὕτω καὶ τῶν μορίων ἑκάστου, ὥστ'
it-comes-to-be first so also of-the parts each so-that
εἰ ἐκείνου σπέρμα, καὶ τῶν μορίων ἑκάστου εἴη ἄν τι
if of-that seed also of-the parts each would-be — some
σπέρμα ἴδιον, πιθανὰ δὲ καὶ τὰ τοιαῦτα μαρτύρια ταύταις
seed peculiar persuasive and also the such testimonies to-these
ταῖς δόξαις· οὐ γὰρ μόνον τὰ σύμφυτα προσεοικότες
the opinions not for only the congenital resembling

γίνονται τοῖς γονεῦσιν οἱ παῖδες, ἀλλὰ καὶ τὰ ἐπίκτητα·
become to-the parents the children but also the acquired
οὐλάς τε γὰρ ἐχόντων τῶν γεννησάντων ἤδη τινὲς ἔσχον
scars both for having the generators already some had
ἐν τοῖς αὐτοῖς τόποις τῶν ἐκγόνων τὸν τύπον τῆς οὐλῆς,
in the same places of-the offspring the mark of-the scar
καὶ στίγμα ἔχοντος ἐν τῷ βραχίονι τοῦ πατρὸς ἐπεσήμηνεν
and brand having in the arm of-the father showed
ἐν Χαλκηδόνι τῷ τέκνῳ συγκεχυμένον μέντοι καὶ οὐ
in Chalcedon on-the child confused however and not
διηρθρωμένον τὸ γράμμα. Ὅτι μὲν οὖν ἀπὸ παντὸς ἔρχεται
articulated the letter That indeed then from all comes
τὸ σπέρμα, σχεδὸν ἐκ τούτων μάλιστα πιστεύουσι τινές.
the seed nearly from these most believe some

XVIII · SEED IS NOT FROM THE WHOLE

The reverse holds. Children resemble parents in voice, nails, hair, and motion, which shed nothing, in traits not yet grown, and in remote ancestors; one seed becomes male or female; one coupling yields many young; female insects insert a part into the male. Empedocles' severed limbs could not live, the pleasure is a strong itching, and the mutilated bear sound young. Seed is no part or colliquation but a residue of the last, useful nourishment, going to every part, not from it, as exhaustion after loss, its lack in the young and old, and the fat's low fertility show.

Φαίνεται δ' ἐξετάζουσι τὸν λόγον τοὐναντίον μᾶλλον· τά
It-appears and to-those-examining the argument the-opposite rather the
τε γὰρ εἰρημένα λύειν οὐ χαλεπόν, καὶ πρὸς τούτοις
both for said to-refute not difficult and in-addition-to these
ἄλλα συμβαίνει λέγειν ἀδύνατα. Πρῶτον μὲν οὖν ὅτι
other-things it-follows to-say impossible First indeed then that

οὐθὲν σημεῖον ἡ ὁμοιότης τοῦ ἀπιέναι ἀπὸ παντός, ὅτι
no sign the likeness of-the coming-away from all because
καὶ φωνὴν καὶ ὄνυχας καὶ τρίχας ὅμοιοι γίγνονται καὶ
also voice and nails and hair like they-become and
τὴν κίνησιν, ἀφ' ὧν οὐθὲν ἀπέρχεται. Ἔνια δ' οὐκ ἔχουσί
the movement from which nothing comes-away Some and not have
πω ὅταν γεννῶσιν, οἷον τρίχωσιν πολιῶν ἢ γενείου. Ἔτι
yet when they-generate such-as growth of-gray-hair or of-beard Further
τοῖς ἄνωθεν γονεῦσιν ἐοίκασιν, ἀφ' ὧν οὐθὲν ἀπῆλθεν·
to-the remoter ancestors they-resemble from whom nothing came-away
ἀποδιδόασι γὰρ διὰ πολλῶν γενεῶν αἱ ὁμοιότητες, οἷον
give-back for through many generations the likenesses such-as
καὶ ἐν Ἤλιδι ἡ τῷ Αἰθίοπι συγγενομένη· οὐ
also in Elis the-woman with-the Ethiopian having-had-intercourse not
γὰρ ἡ θυγάτηρ ἐγένετο, ἀλλ' ὁ ἐκ ταύτης Αἰθίοψ.
for the daughter became but the-one from her Ethiopian
Καὶ ἐπὶ τῶν φυτῶν δὲ ὁ αὐτὸς λόγος· δῆλον γὰρ
And in-the-case-of the plants and the same argument clear for
ὅτι καὶ τούτοις ἀπὸ πάντων ἂν τῶν μερῶν τὸ σπέρμα
that also for-these from all — the parts the seed
γίγνοιτο. Πολλὰ δὲ τὰ μὲν οὐκ ἔχει, τὰ δὲ
would-come-to-be Many and the-ones indeed not they-have the-others and
καὶ ἀφέλοι τις ἄν, τὰ δὲ προσφύεται.
also could-take-away someone — the-others and grow-on
Ἔτι οὐδ' ἀπὸ τῶν περικαρπίων ἀπέρχεται· καίτοι καὶ
Further not-even from the seed-cases it-comes-away and-yet also
ταῦτα γίνεται τὴν αὐτὴν ἔχοντα μορφήν. Ἔτι πότερον ἀπὸ
these come-to-be the same having shape Further whether from
τῶν ὁμοιομερῶν μόνον ἀπέρχεται ἀφ' ἑκάστου, οἷον ἀπὸ
the uniform only it-comes-away from each such-as from
σαρκὸς καὶ ὀστοῦ καὶ νεύρου, ἢ καὶ ἀπὸ τῶν ἀνομοιομερῶν,
flesh and bone and sinew or also from the non-uniform

οἷον προσώπου καὶ χειρός; εἰ μὲν γὰρ ἀπ᾽ ἐκείνων μόνον,
such-as face and hand if indeed for from those only
ἐοίκασι δὲ μᾶλλον ταῦτα τοῖς γονεῦσι τὰ ἀνομοιομερῆ,
they-resemble but more these to-the parents the non-uniform
οἷον πρόσωπον καὶ χεῖρας καὶ πόδας· εἴπερ οὖν μηδὲ
such-as face and hands and feet if-indeed then not-even
ταῦτα τῷ ἀπὸ παντὸς ἀπελθεῖν, τί κωλύει μηδ᾽ ἐκεῖνα
these by-the from all to-come-away what prevents not-even those
τῷ ἀπὸ παντὸς ἀπελθεῖν ὅμοια εἶναι, ἀλλὰ δι᾽ ἄλλην
by-the from all to-come-away like to-be but because-of other
αἰτίαν; εἰ δ᾽ ἀπὸ τῶν ἀνομοιομερῶν μόνον, οὐκ ἄρα
cause if but from the non-uniform only not then
ἀπὸ πάντων. Προσήκει δὲ μᾶλλον ἀπ᾽ ἐκείνων· πρότερα
from all It-befits and more from those prior
γὰρ ἐκεῖνα, καὶ σύγκειται τὰ ἀνομοιομερῆ ἐξ ἐκείνων,
for those and are-composed the non-uniform from those
καὶ ὥσπερ πρόσωπον καὶ χεῖρας γίγνονται ἐοικότες,
and just-as face and hands they-become resembling
οὕτω καὶ σάρκας καὶ ὄνυχας. Εἰ δ᾽ ἀπ᾽ ἀμφοτέρων, τίς
so also flesh and nails If but from both what
ὁ τρόπος ἂν εἴη τῆς γενέσεως; σύγκειται γὰρ ἐκ
the manner — would-be of-the generation are-composed for from
τῶν ὁμοιομερῶν τὰ ἀνομοιομερῆ, ὥστε τὸ ἀπὸ τούτων
the uniform the non-uniform so-that the from these
ἀπιέναι τὸ ἀπ᾽ ἐκείνων ἂν εἴη ἀπιέναι καὶ τῆς
to-come-away the from those — would-be to-come-away and of-the
συνθέσεως, ὥσπερ κἂν εἰ ἀπὸ τοῦ γεγραμμένου ὀνόματος·
composition just-as even if from the written name
εἰ μὲν ἀπὸ παντός, κἂν ἀπὸ τῶν συλλαβῶν ἑκάστης, εἰ
if indeed from all even from the syllables each if
δ᾽ ἀπὸ τούτων, ἀπὸ τῶν στοιχείων καὶ τῆς συνθέσεως.
but from these from the letters and the composition

Ὥστ᾽ εἴπερ ἐκ πυρὸς καὶ τῶν τοιούτων σάρκες καὶ ὀστᾶ
So-that if-indeed from fire and the such flesh and bones
συνεστᾶσιν, ἀπὸ τῶν στοιχείων ἂν εἴη μᾶλλον· ἀπὸ
are-constituted from the elements — it-would-be rather from
γὰρ τῆς συνθέσεως πῶς ἐνδέχεται; Ἀλλὰ μὴν ἄνευ γε
for the composition how is-it-possible But truly without at-least
ταύτης οὐκ ἂν εἴη ὅμοια. Ταύτην δ᾽ εἴ τι δημιουργεῖ
this not — would-be like This but if something fashions
ὕστερον, τοῦτ᾽ ἂν εἴη τὸ τῆς ὁμοιότητος αἴτιον, ἀλλ᾽
later this — would-be the of-the likeness cause but
οὐ τὸ ἀπελθεῖν ἀπὸ παντός. Ἔτι εἰ μὲν διεσπασμένα τὰ
not the to-come-away from all Further if indeed torn-apart the
μέρη ἐν τῷ σπέρματι, πῶς ζῇ; εἰ δὲ συνεχῆ, ζῷον ἂν
parts in the seed how does-it-live if but continuous animal —
εἴη μικρόν. Καὶ τὰ τῶν αἰδοίων πῶς; Οὐ γὰρ ὅμοιον
it-would-be small And the of-the genitals how Not for like
τὸ ἀπιὸν ἀπὸ τοῦ ἄρρενος καὶ τοῦ θήλεος. Ἔτι εἰ
the coming-away from the male and the female Further if
ἀμφοτέρων ὁμοίως ἀπὸ πάντων ἀπέρχεται, δύο γίγνεται
from-both likewise from all it-comes-away two become
ζῷα· ἑκατέρων γὰρ ἅπαντα ἕξει. Διὸ καὶ Ἐμπεδοκλῆς
animals of-each for all will-have Wherefore also Empedocles
ἔοικεν, εἴπερ οὕτω λεκτέον, μάλιστα λέγειν ὁμολογούμενα
seems if-indeed so must-be-said most to-say consistent-things
τούτῳ τῷ λόγῳ, τό γε τοσοῦτον, ἀλλ᾽ εἴπερ ἑτέρᾳ
with-this the argument the at-least so-much but if-indeed in-other
πῃ, οὐ καλῶς. Φησὶ γὰρ ἐν τῷ ἄρρενι καὶ τῷ θήλει
some-way not well He-says for in the male and the female
οἷον σύμβολον ἐνεῖναι, ὅλον δ᾽ ἀπ᾽ οὐδετέρου ἀπιέναι,
as-it-were tally to-be-in whole but from neither to-come-away

ἀλλὰ διέσπασται μελέων φύσις, ἡ μὲν ἐν ἀνδρός.
but has-been-torn-apart of-limbs nature the-one indeed in of-man

Διὰ τί γὰρ τὰ θήλεα οὐ γεννᾷ ἐξ αὑτῶν, εἴπερ ἀπὸ
Because-of what for the females not generate from themselves if-indeed from
παντός τε ἀπέρχεται καὶ ἔχει ὑποδοχήν; ἀλλ' ὡς ἔοικεν
all both it-comes-away and they-have receptacle but as it-seems
ἢ οὐκ ἀπέρχεται ἀπὸ παντός, ἢ οὕτως ὥσπερ ἐκεῖνος
either not it-comes-away from all or so just-as that-man
λέγει, οὐ ταὐτὰ ἀφ' ἑκατέρου, διὸ καὶ δέονται τῆς
says not the-same-things from each wherefore also they-need the
ἀλλήλων συνουσίας. Ἀλλὰ καὶ τοῦτ' ἀδύνατον. Ὥσπερ γὰρ
of-one-another intercourse But also this impossible Just-as for
καὶ μεγάλα ὄντ' ἀδύνατον διεσπασμένα σώζεσθαι καὶ ἔμψυχα
also large being impossible torn-apart to-be-preserved and ensouled
εἶναι, καθάπερ Ἐμπεδοκλῆς γεννᾷ, ἐπὶ τῆς φιλότητος λέγων
to-be just-as Empedocles generates under the love saying

ᾗ πολλαὶ μὲν κόρσαι ἀναύχενες, ἐβλάστησαν.
where many indeed heads neckless sprouted

Εἶθ' οὕτως συμφύεσθαί φησιν. Τοῦτο δὲ φανερὸν ὅτι
Then so to-grow-together he-says This but evident that
ἀδύνατον· οὔτε γὰρ μὴ ψυχὴν ἔχοντα οὔτε μὴ ζωήν
impossible neither for not soul having nor not life
τινα δύναιτ' ἂν σώζεσθαι, οὔτε ὥσπερ ζῷα ὄντα πλείω
some could — to-be-preserved nor just-as animals being many
συμφύεσθαι ὥστ' εἶναι πάλιν ἕν. Ἀλλὰ μὴν τοῦτον τὸν
to-grow-together so-that to-be again one But truly this the
τρόπον συμβαίνει λέγειν τοῖς ἀπὸ παντὸς ἀπιέναι
way it-follows to-say for-those from all to-come-away

φάσκουσιν, ὥσπερ τότε ἐν τῇ γῇ ἐπὶ τῆς φιλότητος,
asserting just-as then in the earth under the love
οὕτω τούτοις ἐν τῷ σώματι. Ἀδύνατον γὰρ συνεχῆ τὰ
so for-these in the body Impossible for continuous the
μόρια γίγνεσθαι, καὶ ἀπιέναι εἰς ἕνα τόπον συνιόντα.
parts to-come-to-be and to-come-away into one place coming-together
Εἶτα πῶς καὶ διέσπασται τὰ ἄνω καὶ κάτω καὶ δεξιὰ
Then how also have-been-torn-apart the upper and lower and right
καὶ ἀριστερὰ καὶ πρόσθια καὶ ὀπίσθια; πάντα γὰρ ταῦτα
and left and front and back all for these
ἄλογά ἐστιν. Ἔτι τὰ μέρη τὰ μὲν δυνάμει τὰ
irrational are Further the parts the-ones indeed by-power the-others
δὲ πάθεσι διώρισται, τὰ μὲν ἀνομοιομερῆ τῷ δύνασθαί
and by-affections are-distinguished the indeed non-uniform by-the being-able
τι ποιεῖν, οἷον γλῶττα καὶ χείρ, τὰ δ' ὁμοιομερῆ
something to-do such-as tongue and hand the but uniform
σκληρότητι καὶ μαλακότητι καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις
by-hardness and softness and the other the such
πάθεσιν. Οὐ πάντως οὖν ἔχον αἷμα οὐδὲ σάρξ. Δῆλον
affections Not in-any-way-whatever then being blood nor flesh Clear
τοίνυν ὅτι ἀδύνατον τὸ ἀπελθὸν εἶναι συνώνυμον τοῖς
then that impossible the having-come-away to-be same-named with-the
μέρεσιν, οἷον αἷμα ἀπὸ αἵματος ἢ σάρκα ἀπὸ σαρκός.
parts such-as blood from blood or flesh from flesh
Ἀλλὰ μὴν εἴ γ' ἐξ ἑτέρου τινὸς ὄντος αἷμα γίνεται,
But truly if at-least from other something being blood comes-to-be
οὐδ' ἂν τῆς ὁμοιότητος αἴτιον εἴη, ὡς λέγουσιν οἱ
not-even — of-the likeness cause it-would-be as say those
φάσκοντες οὕτω, τὸ ἀπελθεῖν ἀπὸ πάντων τῶν μορίων.
asserting so the to-come-away from all the parts
Ἱκανὸν γὰρ ἀφ' ἑνὸς ἀπιέναι μόνον, εἴπερ μὴ ἐξ αἵματος
Sufficient for from one to-come-away only if-indeed not from blood

αἷμα γίγνεται. Διὰ τί γὰρ οὐκ ἂν καὶ ἅπαντα ἐξ
blood comes-to-be Because-of what for not — also all from
ἑνὸς γίγνοιτο; Ὁ αὐτὸς γὰρ λόγος ἔοικεν εἶναι οὗτος
one would-come-to-be The same for argument seems to-be this
τῷ Ἀναξαγόρου, τῷ μηθὲν γίγνεσθαι τῶν ὁμοιομερῶν·
to-the of-Anaxagoras the nothing to-come-to-be of-the uniform
πλὴν ἐκεῖνος μὲν ἐπὶ πάντων, οὗτοι δ' ἐπὶ
except that-man indeed in-the-case-of all these but in-the-case-of
τῆς γενέσεως τῶν ζῴων τοῦτο ποιοῦσιν. Ἔπειτα τίνα
the generation of-the animals this they-do Then in-what
τρόπον αὐξηθήσεται ταῦτα τὰ ἀπελθόντα ἀπὸ παντός;
way will-be-increased these the having-come-away from all
Ἀναξαγόρας μὲν γὰρ εὐλόγως φησὶ σάρκας ἐκ τῆς
Anaxagoras indeed for reasonably says flesh from the
τροφῆς προσιέναι ταῖς σαρξίν· τοῖς δὲ ταῦτα μὲν μὴ
nourishment to-come-to to-the flesh for-those but these indeed not
λέγουσιν, ἀπὸ παντὸς δ' ἀπιέναι φάσκουσι πῶς ἑτέρου
saying from all but to-come-away asserting how other
προσγιγνομένου ἔσται μεῖζον, εἰ μένει τὸ προσελθόν;
being-added will-it-be greater if remains the having-come-to
Ἀλλὰ μὴν εἴ γε δύναται μεταβάλλειν τὸ προσελθόν,
But truly if at-least can to-change the having-come-to
διὰ τί οὐκ εὐθὺς ἐξ ἀρχῆς τὸ σπέρμα τοιοῦτόν ἐστιν
because-of what not at-once from beginning the seed such is
ὥστ' ἐξ αὐτοῦ δυνατὸν εἶναι γίνεσθαι αἷμα καὶ σάρκας,
so-that from it possible to-be to-come-to-be blood and flesh
ἀλλὰ μὴ αὐτὸ εἶναι ἐκεῖνο καὶ αἷμα καὶ σάρκας;
but not itself to-be that both blood and flesh
οὐ γὰρ δὴ οὐδὲ τοῦτο ἐνδέχεται λέγειν, ὡς τῇ κατακεράσει
not for indeed even this is-possible to-say that by-the mixing
αὐξάνεται ὕστερον οἷον οἶνος ὕδατος προσεγχυθέντος.
it-increases later as wine with-water having-been-poured-in

Αὐτὸ γὰρ ἂν πρῶτον μάλιστα ἦν ἕκαστον ἄκρατον
Itself for — first most would-be each unmixed
ὄν· νῦν δὲ ὕστερον μᾶλλον καὶ σὰρξ καὶ ὀστοῦν καὶ τῶν
being now but later rather both flesh and bone and of-the
ἄλλων ἕκαστόν ἐστι μορίων. Τοῦ δὲ σπέρματος φάναι
others each is of-parts Of-the and seed to-say
τι νεῦρον εἶναι καὶ ὀστοῦν λίαν ἐστὶν ὑπὲρ ἡμᾶς τὸ
something sinew to-be and bone very is beyond us the
λεγόμενον. Πρὸς δὲ τούτοις εἰ τὸ θῆλυ καὶ τὸ ἄρρεν
said In-addition-to and these if the female and the male
ἐν τῇ κυήσει διαφέρει, καθάπερ Ἐμπεδοκλῆς λέγει
in the gestation differs just-as Empedocles says

ἐν δ' ἐχύθη καθαροῖσι· τὰ μὲν τελέθουσι γυναῖκες,
in and was-poured into-pure-places the-ones indeed become women
ψύχεος ἀντιάσαντα.
of-cold having-met

Φαίνονται δ' οὖν μεταβάλλουσαι γυναῖκες καὶ ἄνδρες,
Appear but at-any-rate changing women and men
ὥσπερ ἐξ ἀγόνων γόνιμοι, οὕτω καὶ ἐκ θηλυτόκων
just-as from infertile fertile so also from female-bearing
ἀρρενοτόκοι, ὡς οὐκ ἐν τῷ ἀπελθεῖν ἀπὸ παντὸς ἢ μὴ τῆς
male-bearing as not in the to-come-away from all or not the
αἰτίας οὔσης, ἀλλ' ἐν τῷ σύμμετρον ἢ ἀσύμμετρον εἶναι
cause being but in the proportionate or disproportionate to-be
τὸ ἀπὸ τῆς γυναικὸς καὶ τοῦ ἀνδρὸς ἀπιόν, ἢ καὶ δι'
the from the woman and the man coming-away or also because-of
ἄλλην τινὰ τοιαύτην αἰτίαν. Δῆλον τοίνυν, εἰ τοῦτο θήσομεν
other some such cause Clear then if this we-shall-posit
οὕτως, ὅτι οὐ τῷ ἀπελθεῖν ἀπό τινος τὸ θῆλυ, ὥστ' οὐδὲ
so that not by-the to-come-away from something the female so-that not-even

τὸ μέρος ὃ ἔχει ἴδιον τό τε ἄρρεν καὶ τὸ θῆλυ, εἴπερ
the part which it-has peculiar the both male and the female if-indeed
τὸ αὐτὸ σπέρμα καὶ θῆλυ καὶ ἄρρεν δύναται γίγνεσθαι ὡς
the same seed both female and male can to-become as
οὐκ ὄντος τοῦ μορίου ἐν τῷ σπέρματι. Τί οὖν διαφέρει
not being the part in the seed What then differs
ἐπὶ τούτου λέγειν ἢ ἐπὶ τῶν ἄλλων μορίων; εἰ
in-the-case-of this to-say or in-the-case-of the other parts if
γὰρ μηδ' ἀπὸ τῆς ὑστέρας σπέρμα γίνεται, ὁ αὐτὸς λόγος
for not-even from the uterus seed comes-to-be the same argument
καὶ ἐπὶ τῶν ἄλλων ἂν εἴη μορίων. Ἔτι ἔνια γίνεται
also in-the-case-of the others — would-be parts Further some come-to-be
τῶν ζῴων οὔτ' ἐξ ὁμογενῶν οὔτε τῷ γένει διαφόρων,
of-the animals neither from same-kind nor in-the kind different
οἷον αἱ μυῖαι καὶ τὰ γένη τῶν καλουμένων ψυχῶν.
such-as the flies and the kinds of-the so-called butterflies
Ἐκ δὲ τούτων γίνεται μὲν ζῷα, οὐκέτι δ' ὅμοια τὴν
From and these come-to-be indeed animals no-longer but like the
φύσιν, ἀλλὰ γένος τι σκωλήκων. Δῆλον οὖν ὅτι οὐκ ἀπὸ
nature but kind some of-larvae Clear then that not from
παντὸς μέρους ἀπιόντος γίγνονται ὅσα ἑτερογενῆ· ὅμοια
every part coming-away come-to-be as-many-as other-kind like
γὰρ ἂν ἦν, εἴπερ τοῦ ἀπὸ παντὸς ἀπιέναι σημεῖόν
for — they-would-be if-indeed of-the from all to-come-away sign
ἐστιν ἡ ὁμοιότης. Ἔτι ἀπὸ μιᾶς συνουσίας καὶ τῶν ζῴων
is the likeness Further from one intercourse also of-the animals
ἔνια γεννᾷ πολλά, τὰ δὲ φυτὰ καὶ παντάπασιν· δῆλον γὰρ
some generate many the and plants even altogether clear for
ὅτι ἀπὸ μιᾶς κινήσεως τὸν ἐπέτειον πάντα φέρει καρπόν.
that from one motion the yearly all they-bear fruit
Καίτοι πῶς δυνατόν, εἰ ἀπὸ παντὸς ἀπεκρίνετο τὸ σπέρμα;
And-yet how possible if from all was-secreted the seed

μίαν γὰρ ἀπόκρισιν ἀπὸ μιᾶς ἀναγκαῖον γίνεσθαι συνουσίας
one for secretion from one necessary to-come-about intercourse
καὶ μιᾶς διακρίσεως. Ἐν δὲ ταῖς ὑστέραις χωρίζεσθαι
and one separating In and the uteri to-be-separated
ἀδύνατον· ἤδη γὰρ ὥσπερ ἀπὸ νέου φυτοῦ ἢ ζῴου, οὐ
impossible already for as-it-were from young plant or animal not
σπέρματος εἴη ἡ διαχώρισις. Ἔτι τὰ ἀποφυτευόμενα ἀπ᾽
of-seed would-be the division Further the cuttings from
αὐτοῦ φέρει σπέρμα· δῆλον οὖν ὅτι καὶ πρὶν ἀποφυτευθῆναι
it bear seed clear then that also before to-be-cut-off
ἀπὸ τοῦ αὐτοῦ μεγέθους ἔφερε τὸν καρπόν, καὶ οὐκ ἀπὸ
from the same size it-bore the fruit and not from
παντὸς τοῦ φυτοῦ ἀπῄει τὸ σπέρμα. Μέγιστον δὲ τούτων
all the plant came-away the seed Greatest and of-these
τεκμήριον τεθεωρήκαμεν ἱκανῶς ἐπὶ τῶν ἐντόμων.
proof we-have-observed sufficiently in-the-case-of the insects
Καὶ γὰρ εἰ μὴ ἐν πᾶσιν, ἀλλ᾽ ἐπὶ τῶν πλείστων ἐν
And for if not in all but in-the-case-of the most in
τῇ ὀχείᾳ τὸ θῆλυ εἰς τὸ ἄρρεν μέρος τι αὑτοῦ ἀποτείνει.
the copulation the female into the male part some of-itself extends
Διὸ καὶ τὴν ὀχείαν, καθάπερ εἴπομεν πρότερον, οὕτω
Wherefore also the copulation just-as we-said before so
ποιοῦνται· τὰ γὰρ κάτωθεν εἰς τὰ ἄνω φαίνεται
they-make the for from-below into the upper-parts appear
ἐναφιέντα, οὐκ ἐν πᾶσιν, ἀλλ᾽ ἐν τοῖς πλείστοις τῶν
inserting not in all but in the most of-the
τεθεωρημένων. Ὥστε φανερὸν ἂν εἴη ὅτι οὐδ᾽ ὅσα
observed So-that evident — would-be that even as-many-as
προΐεται γονὴν τῶν ἀρρένων, οὐ τὸ ἀπὸ παντὸς ἀπιέναι
emit semen of-the males not the from all to-come-away
τῆς γενέσεως αἴτιόν ἐστιν, ἀλλ᾽ ἄλλον τινὰ τρόπον,
of-the generation cause is but other some way

περὶ οὗ σκεπτέον ὕστερον. Καὶ γὰρ εἴπερ τὸ ἀπὸ
about which it-must-be-examined later And for if-indeed the from
παντὸς ἀπιέναι συνέβαινεν, ὥσπερ φασίν, οὐθὲν ἔδει
all to-come-away happened just-as they-say nothing was-needful
ἀπὸ πάντων ἀξιοῦν ἀπιέναι, ἀλλὰ μόνον ἀπὸ τοῦ
from all to-claim to-come-away but only from the
δημιουργοῦντος, οἷον ἀπὸ τοῦ τέκτονος ἀλλὰ μὴ ἀπὸ τῆς
fashioning such-as from the carpenter but not from the
ὕλης. Νῦν δ' ὅμοιον λέγουσιν ὥσπερ κἂν εἰ ἀπὸ τῶν
material Now but alike they-speak just-as even if from the
ὑποδημάτων· σχεδὸν γὰρ ὅμοιός τις υἱὸς τῷ πατρὶ ὅμοια
shoes nearly for like some son to-the father like-things
φορεῖ. Ὅτι δ' ἡδονὴ σφοδρὰ γίνεται ἐν τῇ ὁμιλίᾳ τῇ τῶν
wears That but pleasure intense comes-about in the intercourse the of-the
ἀφροδισίων, οὐ τὸ ἀπὸ παντὸς ἀπιέναι αἴτιον, ἀλλ' ὅτι
sex not the from all to-come-away cause but because
κνησμός ἐστιν ἰσχυρός· διὸ καὶ εἰ πολλάκις συμβαίνει ἡ
itching is strong wherefore also if often happens the
ὁμιλία αὕτη, ἧττον γίνεται τὸ χαίρειν τοῖς πλησιάζουσιν.
intercourse this less comes-about the enjoying for-those consorting
Ἔτι πρὸς τῷ τέλει ἡ χαρά· ἔδει δὲ ἐν ἑκάστῳ
Further at the end the joy it-was-needful but in each
τῶν μορίων, καὶ μὴ ἅμα, ἀλλ' ἐν μὲν τοῖς πρότερον ἐν
of-the parts and not at-once but in indeed the earlier in
δὲ τοῖς ὕστερον. Τοῦ δ' ἐκ κολοβῶν γίνεσθαι κολοβὰ
but the later Of-the and from mutilated to-come-to-be mutilated
ἡ αὐτὴ αἰτία καὶ διὰ τί ὅμοια τοῖς γονεῦσιν. Γίνεται
the same cause and because-of what like to-the parents Come-to-be
δὲ καὶ οὐ κολοβὰ ἐκ κολοβῶν, ὥσπερ καὶ ἀνόμοια τοῖς
and also not mutilated from mutilated just-as also unlike to-the
τεκνώσασιν· περὶ ὧν ὕστερον τὴν αἰτίαν θεωρητέον· τὸ
begetters about which later the cause must-be-studied the

γὰρ πρόβλημα τοῦτ᾽ ἐκείνοις ταὐτόν ἐστιν. Ἔτι εἰ τὸ
for problem this to-those the-same is Further if the
θῆλυ μὴ προΐεται σπέρμα, τοῦ αὐτοῦ λόγου μηδ᾽ ἀπὸ
female not emits seed of-the same argument not-even from
παντὸς ἀπιέναι. Κἂν εἰ μὴ ἀπὸ παντὸς ἀπέρχεται, οὐθὲν
all to-come-away And-even if not from all it-comes-away nothing
ἄλογον τὸ μηδ᾽ ἀπὸ τοῦ θήλεος, ἀλλ᾽ ἄλλον τινὰ τρόπον
irrational the not-even from the female but other some way
αἴτιον εἶναι τὸ θῆλυ τῆς γενέσεως. Περὶ οὗ δὴ ἐχόμενόν
cause to-be the female of-the generation About which indeed next
ἐστιν ἐπισκέψασθαι, ἐπειδὴ φανερὸν ὅτι οὐκ ἀπὸ πάντων
it-is to-examine since evident that not from all
ἀποκρίνεται τὸ σπέρμα τῶν μορίων. Ἀρχὴ δὲ καὶ ταύτης
is-secreted the seed the parts Beginning and both of-this
τῆς σκέψεως καὶ τῶν ἑπομένων πρῶτον λαβεῖν περὶ
the examination and of-the following first to-grasp about
σπέρματος τί ἐστιν· οὕτω γὰρ καὶ περὶ τῶν ἔργων αὐτοῦ
seed what it-is so for also about the works of-it
καὶ τῶν περὶ αὐτὸ συμβαινόντων ἔσται μᾶλλον εὐθεώρητον.
and the about it happenings it-will-be more easy-to-observe
Βούλεται δὲ τοιοῦτον τὴν φύσιν εἶναι τὸ σπέρμα, ἐξ οὗ
Wishes and such the nature to-be the seed from which
τὰ κατὰ φύσιν συνιστάμενα γίνεται πρώτου, οὐ τῷ
the according-to nature constituted come-to-be first not by-the
ἐξ ἐκείνου τι εἶναι τὸ ποιοῦν, οἷον τοῦ ἀνθρώπου·
from that something to-be the maker such-as of-the man
γίγνεται γὰρ ἐκ τούτου, ὅτι τοῦτό ἐστι τὸ σπέρμα.
comes-to-be for from this because this is the seed
Ἐπεὶ δὲ πολλαχῶς γίγνεται ἄλλο ἐξ ἄλλου· ἕτερον γὰρ
Since and in-many-ways comes-to-be other from other other for
τρόπον, ὡς ἐξ ἡμέρας φαμὲν νὺξ γίγνεται καὶ ἐκ παιδὸς
way as from day we-say night comes-to-be and from boy

ἀνήρ, ὅτι τόδε μετὰ τόδε ἄλλον δὲ τρόπον, ὡς ἐκ
man because this after this other and way as from
χαλκοῦ ἀνδριὰς καὶ ἐκ ξύλου κλίνη, καὶ τἆλλα ὅσα
bronze statue and from wood bed and the-other as-many-as
ὡς ἐξ ὕλης γίγνεσθαι τὰ γιγνόμενα λέγομεν, ἔκ τινος
as from material to-come-to-be the coming-to-be we-say from something
ἐνυπάρχοντος καὶ σχηματισθέντος τὸ ὅλον ἐστίν. Ἕτερον
being-present-in and shaped the whole is Other
δὲ τρόπον ὡς ἐκ μουσικοῦ ἄμουσος καὶ ὡς ἐξ ὑγιοῦς
and way as from musical unmusical and as from healthy
κάμνων, καὶ ὅλως ὡς τὸ ἐναντίον ἐκ τοῦ ἐναντίου. Ἔτι
sick and generally as the opposite from the opposite Further
δὲ παρὰ ταῦτα, ὡς Ἐπίχαρμος ποιεῖ τὴν ἐποικοδόμησιν,
and beside these as Epicharmus makes the climax
ἐκ τῆς διαβολῆς ἡ λοιδορία, ἐκ δὲ ταύτης ἡ μάχη,
from the slander the abuse from and this the fight
ταῦτα δὲ πάντα ἔκ τινος ἡ ἀρχὴ τῆς κινήσεως.
these and all from something the principle of-the motion
Τῶν δὲ τοιούτων ἐνίων μὲν ἐν αὐτοῖς ἡ ἀρχὴ τῆς
Of-the and such of-some indeed in themselves the principle of-the
κινήσεώς ἐστιν, οἷον καὶ ἐν τοῖς νῦν εἰρημένοις (μέρος
motion is such-as also in the now said part
γάρ τι ἡ διαβολὴ τῆς πάσης ταραχῆς ἐστίν), ἐνίων δ'
for some the slander of-the whole disturbance is of-some but
ἔξω, οἷον αἱ τέχναι τῶν δημιουργουμένων καὶ ὁ λύχνος
outside such-as the arts of-the crafted-things and the lamp
τῆς καιομένης οἰκίας. Τὸ δὲ σπέρμα φανερὸν ὅτι δυοῖν
of-the burning house The and seed evident that of-two
τούτοιν ἐν θατέρῳ ἐστίν· ἢ γὰρ ὡς ἐξ ὕλης αὐτοῦ ἢ
these in one-of-the-two is either for as from matter of-it or
ὡς ἐκ πρώτου κινήσαντός ἐστι τὸ γινόμενον. Οὐ γὰρ δὴ
as from first mover is the coming-to-be Not for indeed

ὡς τόδε μετὰ τόδε, οἷον ἐκ τῶν Παναθηναίων ὁ πλοῦς,
as this after this such-as from the Panathenaea the voyage
οὐδ' ὡς ἐξ ἐναντίου· φθειρομένου τε γὰρ γίγνεται τὸ
nor as from opposite being-destroyed both for comes-to-be the
ἐναντίον ἐκ τοῦ ἐναντίου, καὶ ἕτερόν τι δεῖ ὑποκεῖσθαι
opposite from the opposite and other something must to-underlie
ἐξ οὗ ἔσται πρώτου ἐνυπάρχοντος. Τοῖν δυοῖν δὴ
from which it-will-be first being-present-in Of-the two indeed
ληπτέον ἐν ποτέρῳ θετέον τὸ σπέρμα, πότερον
it-must-be-grasped in which-of-the-two it-must-be-placed the seed whether
ὡς ὕλην καὶ πάσχον ἢ ὡς εἶδός τι καὶ ποιοῦν, ἢ καὶ
as matter and being-acted-on or as form some and acting or also
ἄμφω ἅμα γὰρ ἴσως δῆλον ἔσται καὶ πῶς ἐξ ἐναντίων
both at-once for perhaps clear it-will-be also how from opposites
γένεσις ὑπάρχει πᾶσι τοῖς ἐκ τοῦ σπέρματος· φυσικὴ
generation belongs to-all the from the seed natural
γὰρ καὶ ἡ ἐκ τῶν ἐναντίων γένεσις· τὰ μὲν γὰρ ἐξ
for also the from the opposites generation the indeed for from
ἐναντίων γίγνεται, ἄρρενος καὶ θήλεος, τὰ δ' ἐξ ἑνὸς
opposites come-to-be male and female the-others and from one
μόνου, οἷον τά τε φυτὰ καὶ τῶν ζῴων ἔνια, ἐν ὅσοις
only such-as the both plants and of-the animals some in as-many-as
μή ἐστι διωρισμένον τὸ ἄρρεν καὶ τὸ θῆλυ χωρίς.
not is distinguished the male and the female separately
Γονὴ μὲν οὖν τὸ ἀπὸ τοῦ γεννῶντος καλεῖται αἴτιον,
Semen indeed then the from the generator is-called cause
ὅσα συνδυάζεσθαι πέφυκε, τὸ πρῶτον ἔχον ἀρχὴν
as-many-as to-couple are-natural the first having principle
γενέσεως, σπέρμα δὲ τὸ ἐξ ἀμφοτέρων τὰς ἀρχὰς ἔχον
of-generation seed and the from both the principles having
τῶν συνδυασθέντων, οἷον τά τε τῶν φυτῶν καὶ ἐνίων
of-the coupled such-as the both of-the plants and of-some

ζῴων, ἐν οἷς μὴ κεχώρισται τὸ θῆλυ καὶ τὸ ἄρρεν, ὥσπερ
animals in which not has-been-separated the female and the male just-as
τὸ γιγνόμενον ἐκ θήλεος καὶ ἄρρενος πρῶτον μῖγμα οἷον
the coming-to-be from female and male first mixture such-as
κύημά τι ὂν ἢ ζῷον· καὶ γὰρ ταῦτα ἤδη ἔχει τὸ ἐξ
fetus some being or animal and for these already have the from
ἀμφοῖν. Σπέρμα δὲ καὶ καρπὸς διαφέρει τῷ ὕστερον καὶ
both Seed and and fruit differ by-the later and
πρότερον· καρπὸς μὲν γὰρ τῷ ἐξ ἄλλου εἶναι, σπέρμα δὲ
earlier fruit indeed for by-the from other to-be seed and
τῷ ἐκ τούτου ἄλλο, ἐπεὶ ἄμφω γε ταὐτόν ἐστιν. Ἡ δὲ
by-the from this other since both at-least the-same is The but
τοῦ λεγομένου σπέρματος φύσις, ἡ πρώτη, πάλιν λεκτέα
of-the so-called seed nature the first again must-be-told
τίς ἐστιν, ἀνάγκη δὴ πᾶν, ὃ ἂν λαμβάνωμεν ἐν τῷ
what it-is necessary indeed everything which — we-take in the
σώματι, ἢ μέρος εἶναι τῶν κατὰ φύσιν, καὶ τοῦτο
body either part to-be of-the according-to nature and this
ἢ τῶν ἀνομοιομερῶν ἢ τῶν ὁμοιομερῶν, ἢ τῶν παρὰ
either of-the non-uniform or of-the uniform or of-the contrary-to
φύσιν, οἷον φῦμα, ἢ περίττωμα ἢ σύντηγμα ἢ τροφήν.
nature such-as tumor or residue or colliquation or nourishment
Λέγω δὲ περίττωμα μὲν τὸ τῆς τροφῆς ὑπόλειμμα,
I-call and residue indeed the of-the nourishment remnant
σύντηγμα δὲ τὸ ἀποκριθὲν ἐκ τοῦ αὐξήματος ὑπὸ τῆς
colliquation and the secreted from the growth by the
παρὰ φύσιν ἀναλύσεως. Ὅτι μὲν οὖν οὐκ ἂν εἴη
contrary-to nature dissolution That indeed then not — it-would-be
μέρος, φανερόν. Ὁμοιομερὲς μὲν γάρ ἐστιν, ἐκ δὲ τούτου
part evident Uniform indeed for it-is from and this
οὐθὲν σύγκειται, ὥσπερ ἐκ νεύρου καὶ σαρκός. Ἔτι
nothing is-composed just-as from sinew and flesh Further

δὲ οὐδὲ κεχωρισμένον, τὰ δ᾽ ἄλλα πάντα μέρη. Ἀλλὰ
and not-even separated the but other all parts But
μὴν οὐδὲ παρὰ φύσιν, οὐδὲ πήρωμα· ἐν ἅπασί τε
truly not-even contrary-to nature nor deformity in all both
γὰρ ὑπάρχει, καὶ ἡ φύσις ἐκ τούτου γίγνεται. Ἡ δὲ
for it-belongs and the nature from this comes-to-be The and
τροφὴ φανερῶς ἐπείσακτον, ὥστ᾽ ἀνάγκη ἢ σύντηγμα
nourishment evidently imported so-that necessary either colliquation
ἢ περίττωμα εἶναι. Οἱ μὲν οὖν ἀρχαῖοι ἐοίκασιν οἰομένοις
or residue to-be The indeed then ancients seem thinking
εἶναι σύντηγμα· τὸ γὰρ ἀπὸ παντὸς ἀπιέναι φάναι
to-be colliquation the for from all to-come-away to-say
διὰ τὴν θερμότητα τὴν ἀπὸ τῆς κινήσεως συντήγματος
because-of the heat the from the motion of-colliquation
ἔχει δύναμιν. Τὰ δὲ συντήγματα τῶν παρὰ φύσιν τι,
has power The but colliquations of-the contrary-to nature something
ἐκ δὲ τῶν παρὰ φύσιν οὐθὲν γίνεται τῶν κατὰ
from and the contrary-to nature nothing comes-to-be of-the according-to
φύσιν. Ἀνάγκη ἄρα περίττωμα εἶναι. Ἀλλὰ μὴν περίττωμά
nature Necessary then residue to-be But truly residue
γε πᾶν ἢ ἀχρήστου τροφῆς ἐστὶν ἢ χρησίμης.
at-least every either of-useless nourishment is or of-useful
Ἄχρηστον μὲν οὖν λέγω ἀφ᾽ ἧς μηθὲν ἔτι συντελεῖται εἰς
Useless indeed then I-call from which nothing further is-contributed to
τὴν φύσιν, ἀλλ᾽ ἀναλισκομένου πλέονος μάλιστα κακοῦται,
the nature but being-consumed more most is-harmed
τὴν δὲ χρησίμην τὴν ἐναντίαν. Ὅτι μὲν δὴ τοιοῦτον
the and useful the opposite That indeed indeed such
περίττωμα οὐκ ἂν εἴη, φανερόν· τοῖς γὰρ κάκιστα
residue not — it-would-be evident for-the for worst
διακειμένοις δι᾽ ἡλικίαν ἢ νόσον πλεῖστον ὑπάρχει
disposed because-of age or disease most belongs

τοιοῦτον, σπέρμα δὲ ἥκιστα· ἢ γὰρ ὅλως οὐκ ἔχουσιν ἢ
such seed and least either for at-all not they-have or
οὐ γόνιμον διὰ τὸ μίγνυσθαι ἄχρηστον περίττωμα καὶ
not fertile because-of the to-be-mixed useless residue and
νοσηματικόν. Χρησίμου ἄρα περιττώματος μέρος τι ἐστὶ
morbid Of-useful then residue part some is
τὸ σπέρμα. Χρησιμώτατον δὲ τὸ ἔσχατον καὶ ἐξ οὗ
the seed Most-useful and the last and from which
ἤδη γίνεται ἕκαστον τῶν μορίων. Ἔστι γὰρ τὸ μὲν
already comes-to-be each of-the parts It-is for the-one indeed
πρότερον τὸ δ' ὕστερον. Τῆς μὲν οὖν πρώτης τροφῆς
earlier the-other and later Of-the indeed then first nourishment
περίττωμα φλέγμα καὶ εἴ τι ἄλλο τοιοῦτον. Καὶ
residue phlegm and if anything other such And
γὰρ τὸ φλέγμα τῆς χρησίμου τροφῆς περίττωμά ἐστιν·
for the phlegm of-the useful nourishment residue is
σημεῖον δ' ὅτι μιγνύμενον τροφῇ καθαρᾷ τρέφει καὶ
sign and that being-mixed with-nourishment pure it-nourishes and
πονοῦσι καταναλίσκεται. Τὸ δὲ τελευταῖον ἐκ πλείστης
for-those-laboring is-consumed The but last from most
τροφῆς ὀλίγιστον. Ἐννοεῖν δὲ δεῖ ὅτι μικρῷ αὐξάνεται
nourishment least To-understand and one-must that by-little grow
τὰ ζῷα καὶ τὰ φυτὰ τὸ καθ' ἡμέραν πᾶν· μικροῦ γὰρ
the animals and the plants the by day all of-little for
ἂν προστιθεμένου τοῦ αὐτοῦ ὑπερέβαλε τὸ μέγεθος.
— being-added of-the same would-exceed the size
Τοὐναντίον ἄρα ἢ οἱ ἀρχαῖοι ἔλεγον λεκτέον. Οἱ μὲν
The-opposite then than the ancients said must-be-said They indeed
γὰρ τὸ ἀπὸ παντὸς ἀπιόν, ἡμεῖς δὲ τὸ πρὸς ἅπαν ἰέναι
for the from all coming-away we but the to all to-go
πεφυκὸς σπέρμα ἐροῦμεν, καὶ οἱ μὲν σύντηγμα, φαίνεται
naturally-apt seed will-call and they indeed colliquation it-appears

δὲ περίττωμα μᾶλλον. Εὐλογώτερον γὰρ ὅμοιον εἶναι τὸ
but residue rather More-reasonable for like to-be the
προσιὸν ἔσχατον καὶ τὸ περιττὸν γινόμενον τοῦ τοιούτου,
coming-to last and the surplus coming-to-be of-the such
οἷον τοῖς γραφεῦσι τοῦ ἀνδρεικέλου πολλάκις περιγίνεται
as for-the painters of-the flesh-color often is-left-over
ὅμοιον τῷ ἀναλωθέντι. Συντηκόμενον δὲ φθείρεται πᾶν
like to-the used-up Being-colliquated and is-destroyed everything
καὶ ἐξίσταται τῆς φύσεως. Τεκμήριον δὲ τοῦ μὴ σύντηγμα
and departs-from the nature Proof and of-the not colliquation
εἶναι, ἀλλὰ περίττωμα μᾶλλον, τὸ τὰ μεγάλα τῶν ζῴων
to-be but residue rather the the large of-the animals
ὀλιγοτόκα εἶναι, τὰ δὲ μικρὰ πολύγονα. Σύντηγμα μὲν
few-bearing to-be the but small prolific Colliquation indeed
γὰρ πλέον ἀναγκαῖον εἶναι τοῖς μεγάλοις, περίττωμα
for more necessary to-be for-the large residue
δ' ἔλαττον· εἰς γὰρ τὸ σῶμα μέγα ὂν ἀναλίσκεται τὸ
but less into for the body large being is-consumed the
πλεῖστον τῆς τροφῆς, ὥστ' ὀλίγον γίνεται τὸ περίττωμα.
most of-the nourishment so-that little becomes the residue
Ἔτι τόπος συντήγματι μὲν οὐθεὶς ἀποδέδοται κατὰ
Further place for-colliquation indeed none has-been-assigned according-to
φύσιν, ἀλλὰ ῥεῖ ὅπου ἂν εὐοδήσῃ τοῦ σώματος, τοῖς δὲ
nature but it-flows where — it-find-way of-the body for-the but
κατὰ φύσιν περιττώμασι πᾶσιν, οἷον τῆς τροφῆς τῆς
according-to nature residues all such-as of-the nourishment the
ξηρᾶς ἡ κάτω κοιλία καὶ τῆς ὑγρᾶς ἡ κύστις καὶ τῆς
dry the lower belly and of-the moist the bladder and of-the
χρησίμης ἡ ἄνω κοιλία καὶ τῆς σπερματικῆς ὑστέραι καὶ
useful the upper belly and of-the seminal uteri and
αἰδοῖα καὶ μαστοί· εἰς τούτους γὰρ ἀθροίζεται καὶ συρρεῖ.
genitals and breasts into these for it-is-collected and flows-together

Καὶ μαρτύρια τὰ συμβαίνοντα, ὅτι τὸ εἰρημένον σπέρμα
And testimonies the happenings that the said seed
ἐστίν· ταῦτα δὲ συμβαίνει διὰ τὸ τὴν φύσιν εἶναι τοῦ
is these and happen because-of the the nature to-be of-the
περιττώματος τοιαύτην. Ἥ τε γὰρ ἔκλυσις ἐλαχίστου
residue such The both for exhaustion least
ἀπελθόντος τούτου γίνεται ἐπίδηλος, ὡς στερισκόμενα τὰ
having-gone-off this becomes conspicuous as being-deprived the
σώματα τοῦ ἐκ τῆς τροφῆς γινομένου τέλους. Ὀλίγοις
bodies of-the from the nourishment coming-to-be end For-few
δέ τισιν ἐν μικρῷ χρόνῳ κατὰ τὰς ἡλικίας κουφίζει τοῦτ'
but some in short time at the ages relieves this
ἀπιόν, ὅταν πλεονάσῃ, καθάπερ ἡ πρώτη τροφή, ἂν
coming-away when it-be-in-excess just-as the first nourishment if
ὑπερβάλλῃ τῷ πλήθει· καὶ γὰρ ταύτης ἀπιούσης τὰ σώματ'
it-exceed in-the quantity and for this going-away the bodies
εὐημερεῖ μᾶλλον, ἔτι ὅταν συναπίῃ ἄλλα περιττώματα· οὐ
thrive more further when go-away-with other residues not
γὰρ μόνον σπέρμα τὸ ἀπιόν, ἀλλὰ καὶ ἕτεραι μεμιγμέναι
for only seed the going-away but also other mixed
δυνάμεις τούτοις συναπέρχονται, αὗται δὲ νοσώδεις, διὸ
powers with-these go-away-with these and morbid wherefore
ἐνίων γε καὶ ἄγονόν ποτε γίνεται τὸ ἀποχωροῦν διὰ
of-some at-least also infertile sometimes becomes the discharged because-of
τὸ ὀλίγον ἔχειν τὸ σπερματικόν, ἀλλὰ τοῖς πλείστοις καὶ
the little to-have the seminal but for-the most and
ὡς ἐπὶ τὸ πολὺ εἰπεῖν συμβαίνει ἐκ τῶν ἀφροδισιασμῶν
as for the most-part to-say happens from the sexual-acts
ἔκλυσις καὶ ἀδυναμία μᾶλλον διὰ τὴν εἰρημένην αἰτίαν.
exhaustion and weakness rather because-of the said cause
Ἔτι οὐκ ἐνυπάρχει σπέρμα οὔτ' ἐν τῇ πρώτῃ ἡλικίᾳ οὔτ' ἐν
Further not is-present seed either in the first age or in

τῷ γήρᾳ οὔτ᾽ ἐν ταῖς ἀρρωστίαις, ἐν μὲν τῷ κάμνειν διὰ
the old-age or in the sicknesses in indeed the being-ill because-of
τὴν ἀδυναμίαν, ἐν δὲ τῷ γήρᾳ διὰ τὸ μὴ πέττειν τὸ ἱκανὸν
the weakness in and the old-age because-of the not to-concoct the sufficient
τὴν φύσιν, νέοις δ᾽ οὖσι διὰ τὴν αὔξησιν· φθάνει
the nature for-the-young and being because-of the growth it-anticipates
γὰρ ἀναλισκόμενον πᾶν· ἐν ἔτεσι γὰρ πέντε σχεδὸν ἐπί
for being-consumed all in years for five nearly in-the-case-of
γε τῶν ἀνθρώπων ἥμισυ λαμβάνειν δοκεῖ τὸ σῶμα τοῦ
at-least the men half to-take seems the body of-the
μεγέθους τοῦ ἐν τῷ ἄλλῳ χρόνῳ γιγνομένου ἅπαντος.
size of-the in the other time coming-to-be all
Πολλοῖς δὲ συμβαίνει καὶ ζῴοις καὶ φυτοῖς καὶ γένεσι πρὸς
To-many and it-happens both animals and plants and kinds against
γένη διαφορὰ περὶ ταῦτα κἂν τῷ γένει τῷ αὐτῷ τοῖς
kinds difference about these and-in the kind the same for-the
ὁμοειδέσι πρὸς ἄλληλα, οἷον ἀνθρώπῳ πρὸς ἄνθρωπον καὶ
same-species against one-another such-as man against man and
ἀμπέλῳ πρὸς ἄμπελον. Τὰ μὲν γὰρ πολύσπερμα τὰ
vine against vine The-ones indeed for much-seeded the-others
δ᾽ ὀλιγόσπερμά ἐστι, τὰ δ᾽ ἄσπερμα πάμπαν, οὐ δι᾽
but little-seeded are the-others and seedless altogether not because-of
ἀσθένειαν, ἀλλ᾽ ἐνίοις γε τοὐναντίον· καταναλίσκεται γὰρ
weakness but in-some at-least the-opposite it-is-consumed for
εἰς τὸ σῶμα, οἷον τῶν ἀνθρώπων ἐνίοις· εὐεκτικοὶ γὰρ
into the body such-as of-the men in-some in-good-condition for
ὄντες καὶ γινόμενοι πολύσαρκοι ἢ πιότεροι μᾶλλον ἧττον
being and becoming fleshy or fatter rather less
προΐενται σπέρμα καὶ ἧττον ἐπιθυμοῦσι τοῦ ἀφροδισιάζειν.
they-emit seed and less they-desire the to-have-sex
Ὅμοιον δὲ καὶ τὸ περὶ τὰς τραγώσας ἀμπέλους πάθος,
Like and also the about the goatish vines affection

αἳ διὰ τὴν τροφὴν ἐξυβρίζουσιν, ἐπεὶ καὶ οἱ τράγοι
which because-of the nourishment run-riot since also the he-goats
πίονες ὄντες ἧττον ὀχεύουσιν· διὸ καὶ προλεπτύνουσιν
fat being less mount wherefore also they-thin-first
αὐτούς, καὶ τὰς ἀμπέλους τραγᾶν ἀπὸ τοῦ πάθους τῶν
them and the vines to-go-goatish from the affection of-the
τράγων καλοῦσιν. Καὶ οἱ πίονες δὲ ἀγονώτεροι φαίνονται
he-goats they-call Also the fat and less-fertile appear
εἶναι τῶν μὴ πιόνων, καὶ γυναῖκες καὶ ἄνδρες, διὰ τὸ
to-be than-the not fat both women and men because-of the
τοῖς εὐτραφέσι πεττόμενον τὸ περίττωμα γίνεσθαι πιμελήν·
for-the well-fed concocted the residue to-become fat
ἔστι γὰρ καὶ ἡ πιμελὴ περίττωμα δι' εὐβοσίαν ὑγιεινόν.
it-is for also the fat residue because-of good-feeding healthy
Ἔνια δ' ὅλως οὐδὲ φέρει σπέρμα, οἷον ἰτέα καὶ αἴγειρος.
Some and at-all not-even bear seed such-as willow and poplar
Εἰσὶ μὲν οὖν καὶ ἕτεραι αἰτίαι τούτου τοῦ πάθους. Καὶ
There-are indeed then also other causes of-this the affection And
γὰρ δι' ἀδυναμίαν οὐ πέττουσι καὶ διὰ δύναμιν
for because-of weakness not they-concoct and because-of power
ἀναλίσκουσιν, ὥσπερ εἴρηται. Ὁμοίως δὲ καὶ πολύχοά
they-consume just-as has-been-said Likewise and also abounding-in-fluid
ἐστι καὶ πολύσπερμα τὰ μὲν διὰ δύναμιν τὰ
are and much-seeded the-ones indeed because-of power the-others
δὲ δι' ἀδυναμίαν. Πολὺ γὰρ καὶ ἄχρηστον περίττωμα
and because-of weakness Much for and useless residue
συμμίγνυται, ὥστ' ἐνίοις γίγνεσθαι καὶ ἀρρώστημα, ὅταν
is-mixed so-that in-some to-become also sickness when
αὐτῶν μὴ εὐοδήσῃ ἡ ἀποκάθαρσις. Καὶ ἔνιοι μὲν ὑγιάζονται,
of-them not find-way the purging And some indeed are-cured
οἱ δὲ καὶ ἀναιροῦνται. Συντήκονται γὰρ ταύτῃ ὥσπερ
the-others and also are-killed They-are-colliquated for here just-as

καὶ εἰς τὸ οὖρον· ἤδη γὰρ καὶ τοῦτ᾽ ἀσθένημα συνέβη
also into the urine already for also this illness happened
τισίν. Ἔτι ὁ πόρος ὁ αὐτὸς τῷ περιττώματι καὶ τῷ
to-some Further the duct the same for-the residue and for-the
σπέρματι· καὶ ὅσοις μὲν ἀμφοῖν γίγνεται περίττωμα,
seed and in-as-many-as indeed of-both comes-to-be residue
καὶ τῆς ὑγρᾶς καὶ τῆς ξηρᾶς τροφῆς, ᾗπερ ἡ τοῦ ὑγροῦ,
both of-the moist and of-the dry nourishment where-very the of-the moist
ταύτῃ καὶ ἡ τῆς γονῆς γίγνεται ἀπόκρισις (ὑγροῦ γὰρ
there also the of-the semen comes-to-be secretion of-moist for
περίττωμά ἐστιν· ἡ γὰρ τροφὴ πάντων ὑγρὰ μᾶλλον),
residue it-is the for nourishment of-all moist rather
οἷς δὲ μή ἐστιν αὕτη, κατὰ τὴν τῆς ξηρᾶς ὑποστάσεως
in-whom but not is this by the of-the dry sediment
ἀποχώρησιν. Ἔτι ἡ μὲν σύντηξις ἀεὶ νοσώδης, ἡ δὲ τοῦ
discharge Further the indeed colliquation always morbid the but of-the
περιττώματος ἀφαίρεσις ὠφέλιμος· ἡ δὲ τοῦ σπέρματος
residue removal beneficial the but of-the seed
ἀποχώρησις ἀμφοτέρων διὰ τὸ προσλαμβάνειν τῆς μὴ
discharge of-both because-of the taking-in-besides of-the not
χρησίμου τροφῆς. Εἰ δέ γ᾽ ἦν σύντηξις, ἀεὶ ἔβλαπτεν
useful nourishment If but at-least it-were colliquation always it-would-harm
ἄν· νῦν δ᾽ οὐ ποιεῖ τοῦτο. Ὅτι μὲν οὖν περίττωμά ἐστι
— now but not it-does this That indeed then residue is
τὸ σπέρμα χρησίμου τροφῆς καὶ τῆς ἐσχάτης, εἴτε πάντα
the seed of-useful nourishment and of-the last whether all
προΐεται σπέρμα εἴτε μή, ἐν τοῖς προειρημένοις φανερόν.
emit seed or not in the said-before evident

Seed is a residue of the last nourishment, blood or its analogue, potentially each part. The menses are the female's residue, more plentiful and less concocted, since she is weaker and less hot. They come when semen does, as voice and breasts change, cease in age, and leave women smaller, smoother, and paler. Since two seminal secretions cannot coexist, the female emits no seed: conception needs not pleasure but the right measure of menses, and she supplies the matter.

Μετὰ δὲ ταῦτα διοριστέον περίττωμά τε ποίας
After and these-things it-must-be-determined residue both of-what-sort
τροφῆς, καὶ περὶ καταμηνίων· γίγνεται γάρ τισι
nourishment and about menses comes-to-be for to-some
καταμήνια τῶν ζῳοτόκων. Διὰ τούτων γὰρ φανερὸν
menses of-the live-bearing Through these for evident
ἔσται καὶ περὶ τοῦ θήλεος, πότερον προΐεται σπέρμα
it-will-be also about the female whether it-emits seed
ὥσπερ τὸ ἄρρεν καὶ ἔστιν ἓν μῖγμα τὸ γινόμενον ἐκ δυοῖν
just-as the male and is one mixture the coming-to-be from two
σπερμάτοιν, ἢ οὐθὲν σπέρμα ἀποκρίνεται ἀπὸ τοῦ θήλεος·
seeds or no seed is-secreted from the female
καὶ εἰ μηθέν, πότερον οὐδὲ ἄλλο οὐθὲν συμβάλλεται εἰς
and if none whether not-even other anything it-contributes to
τὴν γένεσιν ἀλλὰ μόνον παρέχει τόπον, ἢ συμβάλλεταί
the generation but only provides place or it-contributes
τι, καὶ τοῦτο πῶς καὶ τίνα τρόπον. Ὅτι μὲν οὖν
something and this how and in-what way That indeed then
ἐστὶν ἐσχάτη τροφὴ τὸ αἷμα τοῖς ἐναίμοις, τοῖς δ'
is last nourishment the blood for-the blooded for-the and
ἀναίμοις τὸ ἀνάλογον, εἴρηται πρότερον· ἐπεὶ δὲ καὶ
bloodless the analogous has-been-said before since and also
ἡ γονὴ περίττωμά ἐστι τροφῆς καὶ τῆς ἐσχάτης, ἤτοι
the semen residue is of-nourishment and of-the last either

αἷμα ἂν εἴη ἢ τὸ ἀνάλογον ἢ ἐκ τούτων τι. Ἐπεὶ
blood — would-be or the analogous or from these something Since
δ' ἐκ τοῦ αἵματος πεττομένου καὶ μεριζομένου πως
and from the blood being-concocted and being-divided somehow
γίνεται τῶν μορίων ἕκαστον, τὸ δὲ σπέρμα πεφθὲν μὲν
comes-to-be of-the parts each the and seed concocted indeed
ἀλλοιότερον ἀποκρίνεται τοῦ αἵματος, ἄπεπτον δ' ὄν,
rather-altered is-secreted from-the blood unconcocted but being
καὶ ὅταν τις προσβιάζηται πλεονάκις χρώμενος τῷ
and when someone force-himself more-often using the
ἀφροδισιάζειν, ἐνίοις αἱματῶδες ἤδη προελήλυθεν, φανερὸν
to-have-sex in-some bloody already has-come-forth evident
ὅτι τῆς αἱματικῆς ἂν εἴη περίττωμα τροφῆς τὸ
that of-the blood-like — would-be residue of-nourishment the
σπέρμα, τῆς εἰς τὰ μέρη διαδιδομένης τελευταίας.
seed of-the to the parts being-distributed last
Καὶ διὰ τοῦτο μεγάλην ἔχει δύναμιν· καὶ γὰρ ἡ τοῦ
And because-of this great it-has power and for the of-the
καθαροῦ καὶ ὑγιεινοῦ αἵματος ἀποχώρησις ἐκλυτικόν· καὶ
pure and healthy blood discharge exhausting and
τὸ ὅμοια γίγνεσθαι τὰ ἔκγονα τοῖς γεννήσασιν εὔλογον·
the alike to-become the offspring to-the generators reasonable
ὅμοιον γὰρ τὸ προσελθὸν πρὸς τὰ μέρη τῷ ὑπολειφθέντι.
like for the having-come to the parts to-the left-over
Ὥστε τὸ σπέρμα ἐστὶ τὸ τῆς χειρὸς ἢ τὸ τοῦ προσώπου
So-that the seed is the of-the hand or the of-the face
ἢ ὅλου τοῦ ζῴου ἀδιορίστως χεὶρ ἢ πρόσωπον ἢ ὅλον
or of-whole the animal indistinctly hand or face or whole
ζῷον· καὶ οἷον ἐκείνων ἕκαστον ἐνεργείᾳ, τοιοῦτον τὸ
animal and as of-those each in-actuality such the
σπέρμα δυνάμει, ἢ κατὰ τὸν ὄγκον τὸν ἑαυτοῦ, ἢ ἔχει
seed in-potentiality either by the bulk the its-own or it-has

τινὰ δύναμιν ἐν ἑαυτῷ. Τοῦτο γὰρ οὔπω δῆλον ἡμῖν ἐκ
some power in itself This for not-yet clear to-us from
τῶν διωρισμένων, πότερον τὸ σῶμα τοῦ σπέρματός ἐστι τὸ
the distinguished-things whether the body of-the seed is the
αἴτιον τῆς γενέσεως, ἢ ἔχει τινὰ ἕξιν καὶ ἀρχὴν κινήσεως
cause of-the generation or it-has some state and principle of-motion
γεννητικήν· οὐδὲ γὰρ ἡ χεὶρ οὐδ' ἄλλο τῶν μορίων οὐδὲν
generative not-even for the hand nor other of-the parts any
ἄνευ ψυχῆς ἢ ἄλλης τινὸς δυνάμεώς ἐστι χεὶρ οὐδὲ μόριον
without soul or other some power is hand nor part
οὐθέν, ἀλλὰ μόνον ὁμώνυμον. Φανερὸν δὲ καὶ ὅτι ὅσοις
any but only homonymous Evident and also that in-as-many-as
σύντηξις γίνεται σπερματική, καὶ τοῦτο περίττωμά ἐστιν.
colliquation occurs seminal also this residue is
Συμβαίνει δὲ τοῦτο ὅταν ἀναλύηται εἰς τὸ προσελθόν,
Happens and this when it-be-dissolved into the having-come
ὥσπερ ὅταν ἀποπέσῃ τὸ ἐναλειφθὲν τοῦ κονιάματος εὐθύς·
just-as when fall-off the smeared-on of-the plaster at-once
ταὐτὸν γάρ ἐστι τὸ ἀπελθὸν τῷ πρώτῳ προστεθέντι.
the-same for is the having-gone-away to-the first added
Τὸν αὐτὸν τρόπον καὶ τὸ τελευταῖον περίττωμα τῷ
The same way also the last residue to-the
πρώτῳ συντήγματι ταὐτόν ἐστιν. Καὶ περὶ μὲν τούτων
first colliquation the-same is And about indeed these
διωρίσθω τὸν τρόπον τοῦτον. Ἐπεὶ δ' ἀναγκαῖον
let-it-be-determined the way this Since and necessary
καὶ τῷ ἀσθενεστέρῳ γίγνεσθαι περίττωμα πλεῖον καὶ
also for-the weaker to-come-to-be residue more and
ἧττον πεπεμμένον, τοιοῦτον δ' ὂν ἀναγκαῖον εἶναι
less concocted such but being necessary to-be
αἱματώδους ὑγρότητος πλῆθος, ἀσθενέστερον δὲ τὸ
of-blood-like moisture quantity weaker and the

ἐλάττονος θερμότητος κοινωνοῦν κατὰ φύσιν, τὸ δὲ
of-less heat partaking according-to nature the and
θῆλυ ὅτι τοιοῦτον εἴρηται πρότερον, ἀναγκαῖον καὶ τὴν
female that such has-been-said before necessary also the
ἐν τῷ θήλει γινομένην αἱματώδη ἀπόκρισιν περίττωμα
in the female coming-to-be bloody secretion residue
εἶναι. Γίνεται δὲ τοιαύτη ἡ τῶν καλουμένων καταμηνίων
to-be Comes-to-be and such the of-the so-called menses
ἔκκρισις. Ὅτι μὲν οὖν ἐστὶ τὰ καταμήνια περίττωμα, καὶ
excretion That indeed then are the menses residue and
ὅτι ἀνάλογον ὡς τοῖς ἄρρεσιν ἡ γονὴ οὕτω τοῖς θήλεσι
that analogous as for-the males the semen so for-the females
τὰ καταμήνια, φανερόν. Ὅτι δ' ὀρθῶς εἴρηται, σημεῖα
the menses evident That but correctly it-has-been-said signs
τὰ συμβαίνοντα περὶ αὐτά. Κατὰ γὰρ τὴν αὐτὴν ἡλικίαν
the happenings about them At for the same age
τοῖς μὲν ἄρρεσιν ἄρχεται ἐγγίνεσθαι γονὴ καὶ ἀποκρίνεται,
for-the indeed males begins to-come-to-be-in semen and is-secreted
τοῖς δὲ θήλεσι ῥήγνυται τὰ καταμήνια καὶ φωνήν τε
for-the and females break-forth the menses and voice both
μεταβάλλουσι καὶ ἐπισημαίνει τὰ περὶ τοὺς μαστούς.
they-change and show-signs the about the breasts
Καὶ παύεται τῆς ἡλικίας ληγούσης τοῖς μὲν τὸ δύνασθαι
And ceases the age declining for-the indeed the to-be-able
γεννᾶν, ταῖς δὲ τὰ καταμήνια. Ἔτι δὲ καὶ τὰ τοιάδε
to-generate for-the and the menses Further and also the such
σημεῖα ὅτι περίττωμά ἐστιν αὕτη ἡ ἔκκρισις τοῖς θήλεσιν.
signs that residue is this the excretion for-the females
Ὡς γὰρ ἐπὶ τὸ πολὺ οὔθ' αἱμορροΐδες γίνονται ταῖς
As for for the most-part neither hemorrhoids occur for-the
γυναιξὶν οὔτ' ἐκ τῶν ῥινῶν ῥύσις αἵματος οὔτε τι
women nor from the nostrils flow of-blood nor anything

ἄλλο μὴ τῶν καταμηνίων ἱσταμένων· ἐάν τε συμβῇ τι
other not the menses stopping if both happen any
τούτων, χείρους γίγνονται αἱ καθάρσεις ὡς ἀναλισκομένης
of-these worse become the purgations as being-used-up
εἰς ταῦτα τῆς ἀποκρίσεως. Ἔτι δὲ οὔτε φλεβώδεις
into these the secretion Further and neither veiny
ὁμοίως γλαφυρώτερά τε καὶ λειότερα τὰ θήλεα τῶν
likewise more-delicate both and smoother the females than-the
ἀρρένων ἐστὶ διὰ τὸ συνεκκρίνεσθαι τὴν εἰς ταῦτα
males are because-of the to-be-excreted-together the into these
περίττωσιν ἐν τοῖς καταμηνίοις. Τὸ δ' αὐτὸ τοῦτο δεῖ
residue in the menses The and same this one-must
νομίζειν αἴτιον εἶναι καὶ τοῦ τοὺς ὄγκους ἐλάττους εἶναι
to-think cause to-be also of-the the bulks smaller to-be
τῶν σωμάτων τοῖς θήλεσιν ἢ τοῖς ἄρρεσιν ἐν τοῖς
of-the bodies for-the females than for-the males in the
ζῳοτοκοῦσιν· ἐν τούτοις γὰρ ἡ τῶν καταμηνίων γίνεται
live-bearing in these for the of-the menses occurs
ῥύσις θύραζε μόνοις, καὶ τούτων ἐπιδηλότατα ἐν ταῖς
flow outside alone and of-these most-evidently in the
γυναιξίν· πλείστην γὰρ ἀφίησιν ἀπόκρισιν γυνὴ τῶν ζῴων.
women most for emits secretion woman of-the animals
Διόπερ ἐπιδηλοτάτως ἀεὶ ὠχρόν τέ ἐστι καὶ ἀδηλόφλεβον,
Wherefore most-evidently always pale both she-is and with-veins-unseen
καὶ τὴν ἔλλειψιν πρὸς τοὺς ἄρρενας ἔχει τοῦ σώματος
and the deficiency compared-with the males she-has of-the body
φανεράν. Ἐπεὶ δὲ τοῦτ' ἐστὶν ὃ γίγνεται τοῖς θήλεσιν ὡς
evident Since and this is what comes-to-be in-the females as
ἡ γονὴ τοῖς ἄρρεσιν, δύο δ' οὐκ ἐνδέχεται σπερματικὰς
the semen in-the males two but not is-possible seminal
ἅμα γίνεσθαι ἀποκρίσεις, φανερὸν ὅτι τὸ θῆλυ οὐ
at-once to-come-about secretions evident that the female not

συμβάλλεται σπέρμα εἰς τὴν γένεσιν· εἰ μὲν γὰρ σπέρμα
contributes seed to the generation if indeed for seed
ἦν, τὰ καταμήνια οὐκ ἂν ἦν· νῦν δὲ διὰ τὸ ταῦτα
were the menses not — they-would-be now but because-of the these
γίγνεσθαι ἐκεῖνο οὐκ ἔστιν. Διότι μὲν οὖν, ὥσπερ τὸ σπέρμα,
to-come-to-be that not is That indeed then just-as the seed
καὶ τὰ καταμήνια περίττωμά ἐστιν, εἴρηται· λάβοι δ' ἄν
also the menses residue is has-been-said could-take and —
τις εἰς τοῦτο μαρτύρια ἔνια τῶν συμβαινόντων τοῖς ζῴοις.
someone for this testimonies some of-the happenings to-the animals
Τά τε γὰρ πίονα ἧττόν ἐστι σπερματικὰ τῶν ἀπιμέλων,
The both for fat less are seminal than-the fatless
ὥσπερ εἴρηται πρότερον. Αἴτιον δ' ὅτι καὶ ἡ πιμελὴ
just-as has-been-said before Cause and that also the fat
περίττωμά ἐστι καθάπερ τὸ σπέρμα, καὶ πεπεμμένον αἷμα,
residue is just-as the seed and concocted blood
ἀλλ' οὐ τὸν αὐτὸν τρόπον τῷ σπέρματι. Ὥστ' εὐλόγως
but not the same way to-the seed So-that reasonably
εἰς τὴν πιμελὴν ἀνηλωμένης τῆς περιττώσεως ἐλλείπει
into the fat used-up the residue are-deficient
τὰ περὶ τὴν γονήν, οἷον τῶν τε ἀναίμων τὰ μαλάκια
the about the semen such-as of-the both bloodless the cephalopods
καὶ τὰ μαλακόστρακα περὶ τὴν κύησίν ἐστιν ἄριστα.
and the crustaceans about the gestation are best
Διὰ τὸ ἄναιμα γὰρ εἶναι καὶ μὴ γίνεσθαι πιμελὴν
Because-of the bloodless for to-be and not to-come-to-be fat
ἐν αὐτοῖς, τὸ ἀνάλογον αὐτοῖς τῇ πιμελῇ ἀποκρίνεται
in them the analogous for-them to-the fat is-secreted
εἰς τὸ περίττωμα τὸ σπερματικόν. Σημεῖον δ' ὅτι οὐ
into the residue the seminal Sign and that not
τοιοῦτο σπέρμα προΐεται τὸ θῆλυ οἷον τὸ ἄρρεν. Οὐδὲ
such seed emits the female as the male Nor

μιγνυμένων ἀμφοῖν γίνεται, ὥσπερ τινές φασιν, ὅτι
being-mixed both it-comes-to-be just-as some say that
πολλάκις τὸ θῆλυ συλλαμβάνει οὐ γενομένης αὐτῇ τῆς ἐν
often the female conceives not having-occurred to-her the in
τῇ ὁμιλίᾳ ἡδονῆς· καὶ γιγνομένης πάλιν οὐδὲν ἧττον, καὶ
the intercourse pleasure and occurring again nothing less and
ἰσοδρομησάντων παρὰ τοῦ ἄρρενος καὶ τοῦ θήλεος, οὐ
having-run-equal from the male and the female not
γίγνεται, ἐὰν μὴ ἡ τῶν καλουμένων καταμηνίων ἰκμὰς
it-comes-to-be if not the of-the so-called menses moisture
ὑπάρχῃ σύμμετρος. Διὸ οὔτε ὅλως μὴ γιγνομένων
be-present proportionate Wherefore neither at-all not occurring
αὐτῶν γεννᾷ τὸ θῆλυ, οὔτε γιγνομένων ὅταν ἐξικμάζῃ ὡς
them generates the female nor occurring when it-runs-out as
ἐπὶ τὸ πολύ, ἀλλὰ μετὰ τὴν κάθαρσιν. Ὁτὲ μὲν γὰρ
for the most-part but after the purgation At-times indeed for
οὐκ ἔχει τροφὴν οὐδ' ὕλην, ἐξ ἧς δυνήσεται συστῆσαι
not it-has nourishment nor matter from which it-will-be-able to-constitute
τὸ ζῷον ἡ ἀπὸ τοῦ ἄρρενος ἐνυπάρχουσα ἐν τῇ γονῇ
the animal the from the male being-present-in in the semen
δύναμις· ὁτὲ δὲ συνεκκλύζεται διὰ τὸ πλῆθος.
power at-times and it-is-washed-out-together because-of the quantity
Ὅταν δὲ γενομένων ἀπέλθῃ, τὸ ὑπολειφθὲν συνίσταται.
When and having-occurred go-away the left-over it-is-constituted
Ὅσαι δὲ μὴ γιγνομένων τῶν καταμηνίων συλλαμβάνουσιν,
As-many-as and not occurring the menses conceive
ἢ μεταξὺ γιγνομένων ὕστερον δὲ μή, αἴτιον ὅτι ταῖς
or in-between occurring later but not cause that for-the
μὲν τοσαύτη γίνεται ἰκμὰς ὅση μετὰ τὴν κάθαρσιν
indeed so-much comes-to-be moisture as-much-as after the purgation
ὑπολείπεται ταῖς γονίμοις, πλείων δ' οὐ γίγνεται
is-left-behind in-the fertile more but not comes-to-be

περίττωσις ὥστε καὶ θύραζε ἀπελθεῖν, ταῖς δὲ μετὰ τὴν
residue so-that also outside to-go-away for-the and after the
κάθαρσιν συμμύει τὸ στόμα τῶν ὑστερῶν. Ὅταν οὖν πολὺ
purgation closes the mouth of-the uteri When then much
μὲν τὸ ἀπεληλυθὸς ᾖ, ἔτι δὲ γίγνηται μὲν κάθαρσις, μὴ
indeed the having-gone-away be still but come-about indeed purgation not
τοσαύτη δὲ ὥστε ἐξικμάζειν τὸ σπέρμα, τότε πλησιάζουσαι
so-much but so-that to-wash-out the seed then consorting
συλλαμβάνουσι πάλιν. Οὐδὲν δὲ ἄτοπον τὸ συνειληφυίαις
they-conceive again Nothing and strange the for-having-conceived
ἔτι γίγνεσθαι· καὶ γὰρ ὕστερον μέχρι τινὸς φοιτᾷ τὰ
still to-come-about and for later as-far-as some-time come the
καταμήνια, ὀλίγα δὲ καὶ οὐ διὰ παντός. Ἀλλὰ τοῦτο
menses few but and not through all But this
μὲν νοσηματῶδες, διόπερ ὀλίγαις καὶ ὀλιγάκις συμβαίνει·
indeed morbid wherefore in-few and seldom happens
τὰ δ' ὡς ἐπὶ τὸ πολὺ γινόμενα μάλιστα κατὰ
the but as for the most-part happening most according-to
φύσιν ἐστίν. Ὅτι μὲν οὖν συμβάλλεται τὸ θῆλυ εἰς τὴν
nature are That indeed then contributes the female to the
γένεσιν τὴν ὕλην, τοῦτο δ' ἐστὶν ἐν τῇ τῶν καταμηνίων
generation the matter this and is in the of-the menses
συστάσει, τὰ δὲ καταμήνια περίττωμα, δῆλον.
constitution the and menses residue clear

The fluid some women release in intercourse is a uterine discharge, not seed, of fair, feminine women, not dark, masculine ones; the pleasure proves nothing: boys and the infertile feel it. The female is like an infertile male, too cold to concoct her last nourishment into seed; her menses, a natural hemorrhage, are impure seed, starting at the male's age of seed, in some blooded animals, women most. One mating yields many, so seed is not drawn from every part: the female gives matter, the male form and motion, as rennet sets milk.

Ὃ δ' οἴονταί τινες σπέρμα συμβάλλεσθαι ἐν τῇ συνουσίᾳ
What but think some seed to-contribute in the intercourse
τὸ θῆλυ διὰ τὸ γίνεσθαι παραπλησίαν τε χαρὰν ἐνίοτε
the female because-of the to-come-about similar both joy sometimes
αὐταῖς τῇ τῶν ἀρρένων καὶ ἅμα ὑγρὰν ἀπόκρισιν, οὐκ
to-them to-the of-the males and at-once moist secretion not
ἔστιν ἡ ὑγρασία αὕτη σπερματικὴ ἀλλὰ τοῦ τόπου ἴδιος
is the moisture this seminal but of-the place peculiar
ἑκάσταις. Ἔστι γὰρ τῶν ὑστερῶν ἔκκρισις, καὶ ταῖς
to-each There-is for of-the uteri excretion and in-some
μὲν γίγνεται ταῖς δ' οὔ. Γίγνεται μὲν ταῖς λευκοχρόοις
indeed it-occurs in-others but not It-occurs indeed in-the fair-skinned
καὶ θηλυκαῖς ὡς ἐπὶ τὸ πολὺ εἰπεῖν, οὐ γίνεται δὲ ταῖς
and feminine as for the most-part to-say not it-occurs but in-the
μελαίναις καὶ ἀρρενωποῖς. Τὸ δὲ πλῆθος, αἷς γίγνεται,
dark and masculine-looking The but quantity in-whom it-occurs
ἐνίοτε οὐ κατὰ σπέρματος πρόεσίν ἐστιν, ἀλλὰ πολὺ
sometimes not in-proportion-to seed's emission is but much
ὑπερβάλλει. Ἔτι δὲ καὶ ἐδέσματα ἕτερα ἑτέρων ποιεῖ
exceeds Further and also foods some than-others make
πολλὴν διαφορὰν τοῦ γίγνεσθαι τὴν ἔκκρισιν ἢ ἐλάττω
much difference of-the to-come-about the excretion either less

ἢ πλείω τὴν τοιαύτην, οἷον ἔνια τῶν δριμέων ἐπίδηλον
or more the such such-as some of-the pungent conspicuous
ποιεῖ εἰς πλῆθος τὴν ἀπόκρισιν. Τὸ δὲ συμβαίνειν ἡδονὴν
make into quantity the secretion The and to-happen pleasure
ἐν τῇ συνουσίᾳ οὐ μόνον τοῦ σπέρματος προϊεμένου ἐστίν,
in the intercourse not only of-the seed being-emitted is
ἀλλὰ καὶ πνεύματος, ἐξ οὗ συνισταμένου ἀποσπερματίζει.
but also of-breath from which being-constituted it-ejaculates
Δῆλον δ' ἐπὶ τῶν παίδων τῶν μήπω δυναμένων
Clear and in-the-case-of the boys the not-yet being-able
προΐεσθαι, ἐγγὺς δὲ τῆς ἡλικίας ὄντων, καὶ τῶν ἀγόνων
to-emit near but the age being and the infertile
ἀνδρῶν· γίνεται γὰρ πᾶσι τούτοις ἡδονὴ ξυομένοις. Καὶ
men occurs for for-all these pleasure being-rubbed And
τοῖς γε διεφθαρμένοις τὴν γένεσιν ἔστιν ὅτε ἀναλύονται
for-those at-least destroyed in-the generation there-is when are-loosened
αἱ κοιλίαι διὰ τὸ ἀποκρίνεσθαι περίττωμα εἰς τὴν κοιλίαν
the bowels because-of the to-be-secreted residue into the bowel
οὐ δυνάμενον πεφθῆναι καὶ γενέσθαι σπέρμα. Ἔοικε δὲ καὶ
not able to-be-concocted and to-become seed Resembles and also
τὴν μορφὴν γυνὴ καὶ παῖς, καὶ ἔστιν ἡ γυνὴ ὥσπερ ἄρρεν
in-the shape woman and child and is the woman just-as male
ἄγονον. Ἀδυναμίᾳ γάρ τινι τὸ θῆλύ ἐστι, τῷ μὴ δύνασθαι
infertile By-incapacity for some the female is by-the not to-be-able
πέττειν ἐκ τῆς τροφῆς σπέρμα τῆς ὑστάτης. Τοῦτο δ' ἐστὶν
to-concoct from the nourishment seed the last This and is
ἢ αἷμα ἢ τὸ ἀνάλογον ἐν τοῖς ἀναίμοις διὰ ψυχρότητα
either blood or the analogous in the bloodless because-of coldness
τῆς φύσεως. Ὥσπερ οὖν ἐν ταῖς κοιλίαις διὰ τὴν
of-the nature Just-as then in the bowels because-of the
ἀπεψίαν γίνεται διάρροια, οὕτως ἐν ταῖς φλεψὶν αἵ τ' ἄλλαι
indigestion arises diarrhea so in the veins the both other

αἱμορροΐδες καὶ αἱ τῶν καταμηνίων· καὶ γὰρ αὕτη αἱμορροΐς
hemorrhages and the of-the menses and for this hemorrhage
ἐστιν, ἀλλ' ἐκεῖναι μὲν διὰ νόσον, αὕτη δὲ φυσική.
is but those indeed because-of disease this but natural
Ὥστε φανερὸν ὅτι εὐλόγως γίνεται ἐκ τούτου ἡ γένεσις.
So-that evident that reasonably comes-to-be from this the generation
Ἔστι γὰρ τὰ καταμήνια σπέρμα οὐ καθαρὸν ἀλλὰ δεόμενον
Are for the menses seed not pure but needing
ἐργασίας, ὥσπερ ἐν τῇ περὶ τοὺς καρποὺς γενέσει, ὅταν ᾖ
working-up just-as in the about the fruits generation when it-be
μήπω διῃτημένη, ἔνεστι μὲν ἡ τροφή, δεῖται δ' ἐργασίας
not-yet regulated is-present indeed the nourishment it-needs but working-up
πρὸς τὴν κάθαρσιν. Διὸ καὶ μιγνυμένη ἐκείνη μὲν τῇ
for the purification Wherefore also mixed that indeed with-the
γονῇ, αὕτη δὲ καθαρᾷ τροφῇ, ἡ μὲν γεννᾷ, ἡ
semen this and with-pure nourishment the-one indeed generates the-other
δὲ τρέφει. Σημεῖον δὲ τοῦ τὸ θῆλυ μὴ προΐεσθαι σπέρμα
and nourishes Sign and of-the the female not to-emit seed
καὶ τὸ γίνεσθαι ἐν τῇ ὁμιλίᾳ τὴν ἡδονὴν τῇ ἁφῇ κατὰ
also the to-come-about in the intercourse the pleasure by-the touch at
τὸν αὐτὸν τόπον τοῖς ἄρρεσιν· καίτοι οὐ προΐενται τὴν
the same place as-for-the males and-yet not they-emit the
ἰκμάδα ταύτην ἐντεῦθεν. Ἔτι δ' οὐ πᾶσι γίνεται τοῖς
moisture this from-there Further and not in-all occurs the
θήλεσιν αὕτη ἡ ἔκκρισις, ἀλλὰ τοῖς αἱματικοῖς, καὶ οὐδὲ
females this the excretion but in-the sanguineous and not-even
τούτοις πᾶσιν, ἀλλ' ὅσων αἱ ὑστέραι μὴ πρὸς τῷ
in-these all but of-as-many-as the uteri not at the
ὑποζώματί εἰσι μηδ' ᾠοτοκοῦσιν, ἔτι δ' οὐδὲ τοῖς αἷμα
diaphragm are nor lay-eggs further and not-even in-those blood
μὴ ἔχουσιν ἀλλὰ τὸ ἀνάλογον· ὅπερ γὰρ ἐνίοις τὸ αἷμα,
not having but the analogous which-very for in-some the blood

ἐν τούτοις ἑτέρα ὑπάρχει σύγκρισις. Τοῦ δὲ μήτε τούτοις
in these other belongs composition Of-the and neither in-these
γίγνεσθαι κάθαρσιν μήτε τῶν αἷμα ἐχόντων τοῖς εἰρημένοις,
to-come-about purgation nor of-the blood having in-the said
τοῖς κάτω ἔχουσι καὶ μὴ ᾠοτοκοῦσιν, αἰτία ἡ ξηρότης τῶν
the below having and not laying-eggs cause the dryness of-the
σωμάτων, ὀλίγον λείπουσα τὸ περίττωμα, καὶ τοσοῦτον
bodies little leaving the residue and so-much
ὅσον εἰς τὴν γένεσιν ἱκανὸν μόνον, ἔξω δὲ μὴ προΐεσθαι.
as-much-as for the generation sufficient only outside but not to-be-emitted
Ὅσα δὲ ζῳοτόκα ἄνευ ᾠοτοκίας (ταῦτα δ' ἐστὶν
As-many-as and live-bearing without egg-laying these and are
ἄνθρωπος καὶ τῶν τετραπόδων ὅσα κάμπτει τὰ
man and of-the quadrupeds as-many-as bend the
ὀπίσθια σκέλη ἐντός· ταῦτα μὲν γὰρ πάντα ζῳοτοκεῖ
hind legs inward these indeed for all bear-live
ἄνευ ᾠοτοκίας) τούτοις δὲ γίγνεται μὲν πᾶσιν, πλὴν
without egg-laying in-these and it-occurs indeed in-all except
εἴ τι πεπήρωται ἐν τῇ γενέσει, οἷον ὀρεύς, οὐ μὴν
if something has-been-maimed in the generation such-as mule not truly
ἐπιπολάζουσί γε αἱ καθάρσεις ὥσπερ ἀνθρώποις. Δι'
come-to-the-surface at-least the purgations just-as in-men Through
ἀκριβείας δέ, πῶς συμβαίνει ταῦτα περὶ ἕκαστον τῶν
exactness and how happen these-things about each of-the
ζῴων, γέγραπται ἐν ταῖς περὶ τὰ ζῷα ἱστορίαις. Πλείστη
animals has-been-written in the about the animals inquiries Most
δὲ γίνεται κάθαρσις τῶν ζῴων ταῖς γυναιξί, καὶ τοῖς
and occurs purgation of-the animals in-the women and in-the
ἄρρεσι πλείστη τοῦ σπέρματος πρόεσις κατὰ λόγον
males most of-the seed emission according-to proportion
τοῦ μεγέθους. Αἴτιον δ' ἡ τοῦ σώματος σύστασις ὑγρὰ
of-the size Cause and the of-the body constitution moist

καὶ θερμὴ οὖσα· ἀναγκαῖον γὰρ ἐν τῷ τοιούτῳ γίνεσθαι
and hot being necessary for in the such to-come-about
πλείστην περίττωσιν. Ἔτι δὲ οὐδὲ τὰ τοιαῦτ' ἔχει ἐν
most residue Further and not-even the such it-has in
τῷ σώματι μέρη, εἰς ἃ τρέπεται ἡ περίττωσις, ὥσπερ
the body parts into which is-turned the residue just-as
ἐν τοῖς ἄλλοις· οὐ γὰρ ἔχει οὔτε τριχῶν πλῆθος κατὰ τὸ
in the others not for it-has either of-hairs quantity on the
σῶμα, οὔτε ὀστῶν καὶ κεράτων καὶ ὀδόντων ἐκκρίσεις.
body or of-bones and of-horns and of-teeth excretions
Σημεῖον δ' ὅτι ἐν τοῖς καταμηνίοις τὸ σπέρμα ἐστίν·
Sign and that in the menses the seed is
ἅμα γάρ, ὥσπερ εἴρηται πρότερον, τοῖς ἄρρεσι γίνεται
at-once for just-as has-been-said before in-the males comes-to-be
τὸ περίττωμα τοῦτο, καὶ τοῖς θήλεσι τὰ καταμήνια
the residue this and in-the females the menses
ἐπισημαίνει ἐν τῇ αὐτῇ ἡλικίᾳ, ὡς καὶ ἅμα διισταμένων,
show-signs in the same age as also at-once being-separated
τῶν τόπων τῶν δεκτικῶν ἑκατέρου τοῦ περιττώματος·
the places the receptive of-each the residue
καὶ ἀραιουμένων ἑκατέρων τῶν πλησίον τόπων ἐξανθεῖ
and being-loosened each the nearby places blossoms
ἡ τῆς ἥβης τρίχωσις. Μελλόντων δὲ διίστασθαι οἱ
the of-the puberty hair-growth Being-about and to-be-separated the
τόποι ἀνοιδοῦσιν ὑπὸ τοῦ πνεύματος, τοῖς μὲν ἄρρεσιν
places swell-up by the breath in-the indeed males
ἐπιδηλότερον περὶ τοὺς ὄρχεις, ἐπισημαίνει δὲ καὶ περὶ τοὺς
more-evidently about the testes it-shows-signs and also about the
μαστούς, τοῖς δὲ θήλεσι περὶ τοὺς μαστοὺς μᾶλλον· ὅταν
breasts in-the and females about the breasts more when
γὰρ δύο δακτύλους ἀρθῶσι, τότε γίνεται τὰ καταμήνια
for two fingers they-be-raised then occur the menses

ταῖς πλείσταις. Ἐν ὅσοις μὲν οὖν τῶν ζωὴν ἐχόντων
in-the most In as-many-as indeed then of-the life having
μὴ κεχώρισται τὸ θῆλυ καὶ τὸ ἄρρεν, τούτοις μὲν τὸ
not has-been-separated the female and the male in-these indeed the
σπέρμα οἷον κύημά ἐστιν, λέγω δὲ κύημα τὸ πρῶτον
seed as-it-were fetus is I-mean and fetus the first
μῖγμα θήλεος καὶ ἄρρενος. Διὸ καὶ ἐξ ἑνὸς σπέρματος
mixture of-female and male Wherefore also from one seed
ἓν σῶμα γίνεται, οἷον ἑνὸς πυροῦ εἷς πυθμήν, ὥσπερ ἐξ
one body comes-to-be such-as of-one wheat-grain one stem just-as from
ἑνὸς ᾠοῦ ἓν ζῷον· τὰ γὰρ δίδυμα τῶν ᾠῶν δύο ᾠά ἐστιν.
one egg one animal the for twin of-the eggs two eggs are
Ἐν ὅσοις δὲ τῶν γενῶν διώρισται τὸ θῆλυ καὶ τὸ
In as-many-as but of-the kinds has-been-distinguished the female and the
ἄρρεν, ἐν δὲ τούτοις ἀφ' ἑνὸς σπέρματος ἐνδέχεται πολλὰ
male in and these from one seed it-is-possible many
γίνεσθαι ζῷα, ὡς διαφέροντος τῇ φύσει τοῦ σπέρματος
to-come-to-be animals as differing in-the nature of-the seed
ἐν τοῖς φυτοῖς τε καὶ ζῴοις. Σημεῖον δέ, ἀπὸ μιᾶς γὰρ
in the plants both and animals Sign and from one for
ὀχείας πλείω γίνεται ἐν τοῖς πλείω δυναμένοις γεννᾶν
copulation more come-to-be in the more being-able to-generate
ἑνός. Ἧ καὶ δῆλον ὅτι οὐκ ἀπὸ παντὸς ἔρχεται ἡ
than-one Whereby also clear that not from all comes the
γονή· οὔτε γὰρ ἂν κεχωρισμένα ἀπὸ τοῦ αὐτοῦ μέρους
semen neither for — separated from the same part
εὐθὺς ἀπεκρίνετο, οὔτε ἅμα ἐλθόντα εἰς τὰς ὑστέρας ἐκεῖ
at-once would-be-secreted nor at-once having-come into the uteri there
διεχωρίζετο· ἀλλὰ συμβαίνει ὥσπερ εὔλογον, ἐπειδὴ τὸ
would-be-separated but it-happens just-as reasonable since the
μὲν ἄρρεν παρέχεται τό τε εἶδος καὶ τὴν ἀρχὴν τῆς
indeed male provides the both form and the principle of-the

κινήσεως, τὸ δὲ θῆλυ τὸ σῶμα καὶ τὴν ὕλην, οἷον ἐν
motion the and female the body and the matter as in
τῇ τοῦ γάλακτος πήξει τὸ μὲν σῶμα τὸ γάλα ἐστίν, ὁ
the of-the milk curdling the indeed body the milk is the
δὲ ὀπός, ἡ πυτία, τὸ τὴν ἀρχὴν ἔχον τὴν συνιστᾶσαν,
but juice the rennet the the principle having the constituting
οὕτω τὸ ἀπὸ τοῦ ἄρρενος ἐν τῷ θήλει μεριζόμενον.
so the from the male in the female being-divided
Δι' ἣν δ' αἰτίαν μερίζεται ἔνθα μὲν εἰς πλείω ἔνθα
Because-of which and cause it-is-divided in-some indeed into more in-others
δ' εἰς ἐλάττω ἔνθα δὲ μοναχῶς, ἕτερος ἔσται λόγος.
and into fewer in-others and singly other will-be account
Ἀλλὰ διὰ τὸ μηθέν γε διαφέρειν τῷ εἴδει, ἀλλ'
But because-of the nothing at-least to-differ in-the form but
ἐὰν μόνον σύμμετρον ᾖ τὸ διαιρούμενον πρὸς τὴν ὕλην,
if only proportionate be the being-divided toward the matter
καὶ μήτε ἔλαττον ὥστε μὴ πέττειν μηδὲ συνιστάναι, μήτε
and neither less so-that not to-concoct nor to-constitute nor
πλεῖον ὥστε ξηρᾶναι, πλείω οὕτω γεννᾶται. Ἐκ δὲ τοῦ
more so-that to-dry more so it-is-generated From and the
συνιστάντος πρώτου, ἐξ ἑνὸς ἤδη ἓν γίνεται μόνον.
constituting first from one already one comes-to-be only
Ὅτι μὲν οὖν τὸ θῆλυ εἰς τὴν γένεσιν γονὴν μὲν οὐ
That indeed then the female to the generation semen indeed not
συμβάλλεται, συμβάλλεται δέ τι, καὶ τοῦτ' ἐστὶν ἡ τῶν
contributes contributes but something and this is the of-the
καταμηνίων σύστασις καὶ τὸ ἀνάλογον ἐν τοῖς ἀναίμοις,
menses constitution and the analogous in the bloodless
ἔκ τε τῶν εἰρημένων δῆλον καὶ κατὰ τὸν λόγον καθόλου
from both the said clear and by the account generally
σκοπουμένοις. Ἀνάγκη γὰρ εἶναι τὸ γεννῶν καὶ ἐξ οὗ, καὶ
to-those-considering Necessary for to-be the generating and from which and

τοῦτ᾽ ἂν καὶ ἓν ᾖ, τῷ γε εἴδει διαφέρειν καὶ τῷ τὸν
this even-if also one it-be in-the at-least form to-differ and by-the the
λόγον αὐτῶν εἶναι ἕτερον, ἐν δὲ τοῖς κεχωρισμένας ἔχουσι
account of-them to-be other in but those separate having
τὰς δυνάμεις καὶ τὰ σώματα καὶ τὴν φύσιν ἑτέραν εἶναι τοῦ
the powers also the bodies and the nature other to-be of-the
τε ποιοῦντος καὶ τοῦ πάσχοντος. Εἰ οὖν τὸ ἄρρεν ἐστὶν
both acting and of-the being-acted-on If then the male is
ὡς κινοῦν καὶ ποιοῦν, τὸ δὲ θῆλυ, ᾗ θῆλυ, ὡς παθητικόν,
as moving and acting the and female as female as passive
εἰς τὴν τοῦ ἄρρενος γονὴν τὸ θῆλυ ἂν συμβάλλοιτο οὐ
to the of-the male semen the female — would-contribute not
γονὴν ἀλλ᾽ ὕλην. Ὅπερ καὶ φαίνεται συμβαῖνον· κατὰ
semen but matter Which-very also appears happening by
γὰρ τὴν πρώτην ὕλην ἐστὶν ἡ τῶν καταμηνίων φύσις.
for the first matter is the of-the menses nature

XXI · HOW THE MALE CONTRIBUTES

Does the male's seed become part of the fetus or act on it as a mover? Active and passive make one thing only as the carpenter and the wood make a bed, and the facts agree: in some insects the female inserts a part into the male; a hen's wind-eggs turn fertile if she is mounted in time, and her brood takes after the later cock; the male fish's milt makes fertile only the eggs it touches. So the seed does not come from every part: the male gives the principle of motion, working the female's matter by heat, and a bird alone forms only wind-eggs.

Περὶ μὲν τούτων διωρίσθω τὸν τρόπον τοῦτον. Ἅμα δ᾽
About indeed these let-it-be-determined the way this At-once and
ἐκ τούτων φανερόν, περὶ ὧν ἐχόμενόν ἐστιν ἐπισκέψασθαι,
from these evident about which next it-is to-examine

πῶς ποτὲ συμβάλλεται εἰς τὴν γένεσιν τὸ ἄρρεν, καὶ πῶς
how ever contributes to the generation the male and how
αἴτιόν ἐστι τοῦ γινομένου τὸ σπέρμα τὸ ἀπὸ τοῦ ἄρρενος,
cause is of-the coming-to-be the seed the from the male
πότερον ὡς ἐνυπάρχον καὶ μόριον ὂν εὐθὺς τοῦ γινομένου
whether as being-present-in and part being at-once of-the coming-to-be
σώματος, μιγνύμενον τῇ ὕλῃ τῇ παρὰ τοῦ θήλεος, ἢ
body being-mixed with-the matter the from the female or
τὸ μὲν σῶμα οὐθὲν κοινωνεῖ τοῦ σπέρματος, ἡ δ' ἐν
the indeed body nothing shares of-the seed the but in
αὐτῷ δύναμις καὶ κίνησις· αὕτη μὲν γάρ ἐστιν ἡ ποιοῦσα,
it power and motion this indeed for is the acting
τὸ δὲ συνιστάμενον καὶ λαμβάνον τὴν μορφὴν τὸ τοῦ ἐν
the and being-constituted and receiving the shape the of-the in
τῷ θήλει περιττώματος λοιπόν. Κατά τε δὴ τὸν λόγον
the female residue remainder By both indeed the argument
οὕτω φαίνεται καὶ ἐπὶ τῶν ἔργων. Καθόλου τε γὰρ
so it-appears and in-the-case-of the facts Generally both for
ἐπισκοποῦσιν οὐ φαίνεται γιγνόμενον ἓν ἐκ τοῦ παθητικοῦ
to-those-considering not it-appears coming-to-be one from the passive
καὶ τοῦ ποιοῦντος ὡς ἐνυπάρχοντος ἐν τῷ γινομένῳ τοῦ
and the acting as being-present-in in the coming-to-be the
ποιοῦντος, οὐδ' ὅλως δὴ ἐκ τοῦ κινουμένου καὶ κινοῦντος.
acting nor at-all indeed from the moved and mover
Ἀλλὰ μὴν τό γε θῆλυ, ᾗ θῆλυ, παθητικόν, τὸ δ' ἄρρεν,
But truly the at-least female as female passive the but male
ᾗ ἄρρεν, ποιητικὸν καὶ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως.
as male active and whence the principle of-the motion
Ὥστε ἂν ληφθῇ τὰ ἄκρα ἑκατέρων, ᾗ τὸ μὲν ποιητικὸν
So-that if be-taken the extremes of-each as the indeed active
καὶ κινοῦν, τὸ δὲ παθητικὸν καὶ κινούμενον, οὐκ ἔστιν
and moving the but passive and moved not is

ἐκ τούτων τὸ γιγνόμενον ἕν, ἀλλ᾽ ἢ οὕτως ὡς ἐκ τοῦ
from these the coming-to-be one but only so as from the
τέκτονος καὶ ξύλου ἡ κλίνη, ἢ ὡς ἐκ τοῦ κηροῦ καὶ τοῦ
carpenter and wood the bed or as from the wax and the
εἴδους ἡ σφαῖρα. Δῆλον ἄρα ὅτι οὔτ᾽ ἀνάγκη ἀπιέναι
form the ball Clear then that neither necessary to-come-away
τι ἀπὸ τοῦ ἄρρενος, οὔτ᾽ εἴ τι ἀπέρχεται, διὰ
something from the male nor if something comes-away because-of
τοῦτο ἐκ τούτου ὡς ἐνυπάρχοντος τὸ γιγνόμενόν ἐστιν,
this from this as being-present-in the coming-to-be is
ἀλλ᾽ ὡς ἐκ κινήσαντος καὶ τοῦ εἴδους, ὡς καὶ ἀπὸ τῆς
but as from having-moved and the form as also from the
ἰατρικῆς ὁ ὑγιασθείς. Συμβαίνει δ᾽ ὁμολογούμενα τῷ
medicine the healed Happens and consistent-things with-the
λόγῳ καὶ ἐπὶ τῶν ἔργων. Διὰ τοῦτο γὰρ ἔνια τῶν
argument also in-the-case-of the facts Because-of this for some of-the
ἀρρένων καὶ συνδυαζομένων τοῖς θήλεσιν οὐδὲ μόριον
males even coupling with-the females not-even part
οὐθὲν φαίνεται προϊέμενα εἰς τὸ θῆλυ, ἀλλὰ τοὐναντίον
any appear emitting into the female but the-opposite
τὸ θῆλυ, εἰς τὸ ἄρρεν, ὃ συμβαίνει ἐνίοις τῶν ἐντόμων.
the female into the male which happens in-some of-the insects
Ὃ γὰρ ἐν τοῖς προϊεμένοις ἀπεργάζεται τὸ σπέρμα
What for in the emitting works the seed
ἐν τῷ θήλει, τοῦτο ἡ ἐν τῷ ζῴῳ αὐτῷ ὑγρότης καὶ
in the female this the in the animal itself moisture and
δύναμις ἀπεργάζεται, εἰσφέροντος τοῦ θήλεος τὸ δεκτικὸν
power works bringing-in the female the receptive
τοῦ περιττώματος μόριον, καὶ διὰ τοῦτο τὰ τοιαῦτα
of-the residue part and because-of this the such
τῶν ζῴων συμπλέκεται μὲν πολὺν χρόνον, διαλυθέντα δὲ
of-the animals intertwine indeed much time separated but

γεννᾷ ταχέως. Συνδεδύασται μὲν οὖν μέχρι ἂν συστήσῃ,
generate quickly Have-coupled indeed then until — it-constitute
ὥσπερ ἡ γονή· διαλυθέντα δὲ προΐεται τὸ κύημα ταχέως.
just-as the semen separated but emit the fetus quickly
Γεννᾷ γὰρ ἀτελές· σκωληκοτοκεῖ γὰρ πάντα τὰ τοιαῦτα.
It-generates for incomplete bear-larvae for all the such
Μέγιστον δὲ σημεῖον τὸ συμβαῖνον περὶ τοὺς ὄρνιθας καὶ
Greatest and sign the happening about the birds and
τὸ τῶν ἰχθύων γένος τῶν ᾠοτόκων τοῦ μήτε ἀπὸ πάντων
the of-the fish kind of-the egg-laying of-the neither from all
εἶναι τὸ σπέρμα τῶν μορίων, μήτε προΐεσθαι τὸ ἄρρεν
to-be the seed the parts nor to-emit the male
τοιοῦτόν τι μόριον ὃ ἔσται ἐνυπάρχον τῷ γεννηθέντι,
such some part which will-be being-present-in in-the generated
ἀλλὰ μόνον τῇ δυνάμει τῇ ἐν τῇ γονῇ ζῳοποιεῖν, ὥσπερ
but only by-the power the in the semen to-make-alive just-as
εἴπομεν ἐπὶ τῶν ἐντόμων, ἐν οἷς τὸ θῆλυ προΐεται
we-said in-the-case-of the insects in which the female emits
εἰς τὸ ἄρρεν. Ἐάν τε γὰρ ὑπηνέμια τύχῃ κύουσα ἡ
into the male If both for wind-eggs happen gestating the
ὄρνις, ἐὰν μετὰ ταῦτα ὀχεύηται μήπω μεταβεβληκότος
bird if after these-things she-be-mounted not-yet having-changed
τοῦ ᾠοῦ ἐκ τοῦ ὠχρὸν ὅλον εἶναι εἰς τὸ λευκαίνεσθαι,
the egg from the yellow whole to-be into the to-become-white
γόνιμα γίνεται ἀντὶ ὑπηνεμίων· ἐάν τε ὑφ' ἑτέρου
fertile they-become instead-of wind-eggs if both by another
ὠχευμένη καὶ ἔτι ὠχροῦ ὄντος, κατὰ τὸν ὕστερον
having-been-mounted and still yellow being according-to the later
ὀχεύσαντα τὸ γένος ἀποβαίνει πᾶν τὸ τῶν νεοττῶν.
mounting-one the brood turns-out all the of-the chicks
Διὸ ἔνιοι τοῦτον τὸν τρόπον τῶν περὶ τὰς ὄρνιθας
Wherefore some this the way of-the about the birds

τὰς γενναίας σπουδαζόντων ποιοῦσι, μεταβάλλοντες τὰ
the well-bred taking-pains do changing the
πρῶτα ὀχεῖα καὶ τὰ ὕστερα, ὡς οὐ συμμιγνύμενον καὶ
first mounters and the later as not being-mixed and
ἐννυπάρχον, οὐδ' ἀπὸ παντὸς ἐλθὸν τὸ σπέρμα.
being-present-in nor from all having-come the seed
Ἀπ' ἀμφοῖν γὰρ ἂν ἦλθεν, ὥστ' εἶχεν ἂν δὶς
From both for — it-would-have-come so-that it-would-have — twice
ταὐτὰ μέρη. Ἀλλὰ τῇ δυνάμει τὸ τοῦ ἄρρενος σπέρμα
the-same parts But by-the power the of-the male seed
τὴν ἐν τῷ θήλει ὕλην καὶ τροφὴν ποιάν τινα κατασκευάζει.
the in the female matter and nourishment of-a-sort some prepares
Τοῦτο γὰρ ἐνδέχεται ποιεῖν τὸ ὕστερον ἐπεισελθὸν ἐκ τοῦ
This for it-is-possible to-do the later having-come-in from the
θερμᾶναι καὶ πέψαι· λαμβάνει γὰρ τροφὴν τὸ ᾠὸν ἕως
to-heat and to-concoct takes for nourishment the egg until
ἂν αὐξάνηται. Τὸ δ' αὐτὸ συμβαίνει καὶ περὶ τὴν τῶν
— it-grow The and same happens also about the of-the
ἰχθύων γένεσιν τῶν ᾠοτοκουμένων. Ὅταν γὰρ ἀποτέκῃ
fish generation of-the egg-laying When for she-lay
τὰ ᾠὰ ἡ θήλεια, ὁ ἄρρην ἐπιρραίνει τὸν θορόν· καὶ
the eggs the female the male sprinkles-on the milt and
ὧν μὲν ἂν ἐφάψηται, γόνιμα ταῦτα γίνεται τὰ ᾠά, ὧν
which indeed — it-touch fertile these become the eggs which
δ' ἂν μή, ἄγονα, ὡς οὐκ εἰς τὸ ποσὸν συμβαλλομένου
but — not infertile as not to the quantity contributing
τοῖς ζῴοις τοῦ ἄρρενος, ἀλλ' εἰς τὸ ποιόν. Ὅτι μὲν οὖν
to-the animals the male but to the quality That indeed then
οὔτ' ἀπὸ παντὸς ἀπέρχεται τὸ σπέρμα τοῖς προϊεμένοις
neither from all comes-away the seed in-the emitting
σπέρμα τῶν ζῴων, οὔτε τὸ θῆλυ πρὸς τὴν γένεσιν οὕτω
seed of-the animals nor the female to the generation so

συμβάλλεται τοῖς συνισταμένοις ὡς τὸ ἄρρεν, ἀλλὰ τὸ
contributes to-the being-constituted as the male but the
μὲν ἄρρεν ἀρχὴν κινήσεως, τὸ δὲ θῆλυ τὴν ὕλην, δῆλον
indeed male principle of-motion the but female the matter clear
ἐκ τῶν εἰρημένων. Διὰ γὰρ τοῦτο οὔτ' αὐτὸ καθ' αὑτὸ
from the said-things Because-of for this neither itself by itself
γεννᾷ τὸ θῆλυ· δεῖται γὰρ ἀρχῆς καὶ τοῦ κινήσοντος καὶ
generates the female it-needs for principle and of-the going-to-move and
διοριοῦντος. Ἀλλ' ἐνίοις γε τῶν ζῴων, οἷον τοῖς ὄρνισι,
going-to-determine But in-some at-least of-the animals such-as in-the birds
μέχρι τινὸς ἡ φύσις δύναται γεννᾶν· αὗται γὰρ συνιστᾶσι
up-to some-point the nature can to-generate these for constitute
μέν, ἀτελῆ δὲ συνιστᾶσι τὰ καλούμενα ὑπηνέμια ᾠά.
indeed incomplete but they-constitute the so-called wind eggs

XXII · GENERATION IN THE FEMALE

Generation happens in the female because the matter it works is there, as the carpenter works at the wood and the potter at the clay. Not every male emits seed, and where one does, the seed is no part of the fetus: nothing passes from the carpenter into the timber, but the form comes from the soul in him through the motion of his hands, and the male's nature uses the seed as its tool. Where the female inserts a part into the male, such males are too weak for nature to work through anything else, so it shapes the fetus with its own parts, like a modeler, not a carpenter.

Ἥ τε γένεσις ἐν τῷ θήλει συμβαίνει τῶν γινομένων, ἀλλ'
The both generation in the female happens of-the coming-to-be but
οὐκ εἰς τὸ ἄρρεν· οὔτ' αὖ τὸ ἄρρεν προΐεται τὴν γονὴν
not into the male neither again the male emits the semen
οὔτε τὸ θῆλυ, ἀλλ' ἄμφω εἰς τὸ θῆλυ συμβάλλονται τὸ
nor the female but both into the female contribute the

παρ᾽ αὐτῶν γιγνόμενον, διὰ τὸ ἐν τῷ θήλει εἶναι τὴν
from them coming-to-be because-of the in the female to-be the
ὕλην ἐξ ἧς ἐστὶ τὸ δημιουργούμενον. Καὶ εὐθὺς τὴν
matter from which is the being-fashioned And at-once the-one
μὲν ἀθρόον ὑπάρχειν ἀναγκαῖον ἐξ ἧς συνίσταται τὸ
indeed all-together to-be-present necessary from which is-constituted the
κύημα τὸ πρῶτον, τὴν δ᾽ ἐπιγίνεσθαι δεῖ τῆς ὕλης
fetus the first the-other but to-come-in-addition must of-the matter
ἵν᾽ αὐξάνηται τὸ κυόμενον. Ὥστ᾽ ἀνάγκη ἐν τῷ θήλει
so-that grow the being-gestated So-that necessary in the female
ὑπάρχειν τὸν τόκον· καὶ γὰρ πρὸς τῷ ξύλῳ ὁ τέκτων καὶ
to-be-present the birth and for at the wood the carpenter and
πρὸς τῷ πηλῷ ὁ κεραμεύς, καὶ ὅλως πᾶσα ἡ ἐργασία
at the clay the potter and generally all the working
καὶ ἡ κίνησις ἡ ἐσχάτη πρὸς τῇ ὕλῃ, οἷον ἡ οἰκοδόμησις
and the motion the last at the matter such-as the building
ἐν τοῖς οἰκοδομουμένοις. Λάβοι δ᾽ ἄν τις ἐκ τούτων
in the being-built-things Could-take and — someone from these
καὶ τὸ ἄρρεν πῶς συμβάλλεται πρὸς τὴν γένεσιν· οὐδὲ
also the male how contributes to the generation not-even
γὰρ τὸ ἄρρεν ἅπαν προΐεται σπέρμα, ὅσα τε προΐεται
for the male every emits seed as-many-as both emit
τῶν ἀρρένων, οὐθὲν μόριον τοῦτ᾽ ἐστὶ τοῦ γιγνομένου
of-the males no part this is of-the coming-to-be
κυήματος, ὥσπερ οὐδ᾽ ἀπὸ τοῦ τέκτονος πρὸς τὴν τῶν
fetus just-as not-even from the carpenter to the of-the
ξύλων ὕλην οὔτ᾽ ἀπέρχεται οὐθέν, οὔτε μόριον οὐθέν ἐστιν
timbers matter either comes-away anything or part any is
ἐν τῷ γιγνομένῳ τῆς τεκτονικῆς, ἀλλ᾽ ἡ μορφὴ καὶ τὸ
in the coming-to-be of-the carpentry but the shape and the
εἶδος ἀπ᾽ ἐκείνου ἐγγίνεται διὰ τῆς κινήσεως ἐν τῇ ὕλῃ,
form from that come-to-be-in through the motion in the matter

καὶ ἡ μὲν ψυχὴ ἐν ᾗ τὸ εἶδος καὶ ἡ ἐπιστήμη κινοῦσι
and the indeed soul in which the form and the knowledge move
τὰς χεῖρας ἤ τι μόριον ἕτερον ποιάν τινα κίνησιν,
the hands or some part other of-a-sort some motion
ἑτέραν μὲν ἀφ' ὧν τὸ γιγνόμενον ἕτερον, τὴν αὐτὴν δὲ
different indeed from which the coming-to-be different the same but
ἀφ' ὧν τὸ αὐτό, αἱ δὲ χεῖρες καὶ τὰ ὄργανα τὴν ὕλην.
from which the same the and hands and the instruments the matter
Ὁμοίως δὲ καὶ ἡ φύσις ἡ ἐν τῷ ἄρρενι τῶν σπέρμα
Likewise and also the nature the in the male of-the seed
προϊεμένων χρῆται τῷ σπέρματι ὡς ὀργάνῳ καὶ ἔχοντι
emitting uses the seed as instrument and having
κίνησιν ἐνεργείᾳ, ὥσπερ ἐν τοῖς κατὰ τέχνην γινομένοις
motion in-actuality just-as in the by art coming-to-be
τὰ ὄργανα κινεῖται· ἐν ἐκείνοις γάρ πως ἡ κίνησις τῆς
the instruments are-moved in those for somehow the motion of-the
τέχνης. Ὅσα μὲν οὖν προΐεται σπέρμα, συμβάλλεται
art As-many-as indeed then emit seed contribute
τοῦτον τὸν τρόπον εἰς τὴν γένεσιν· ὅσα δὲ μὴ
this the way to the generation as-many-as but not
προΐεται σπέρμα, ἀλλ' ἐναφίησι τὸ θῆλυ εἰς τὸ ἄρρεν
emit seed but insert the female into the male
τῶν αὐτοῦ τι μορίων, ὅμοιον ἔοικε ποιοῦντι ὥσπερ ἂν
of-the its-own some parts like seems to-one-doing just-as —
εἰ τὴν ὕλην κομίσειέ τις πρὸς τὸν δημιουργόν. Δι'
if the matter should-bring someone to the craftsman Because-of
ἀσθένειαν γὰρ τῶν τοιούτων ἀρρένων οὐθὲν δι' ἑτέρων
weakness for of-the such males nothing through others
οἷά τε ποιεῖν ἡ φύσις, ἀλλὰ μόλις αὐτῆς προσεδρευούσης
able — to-do the nature but hardly it sitting-beside
ἰσχύουσιν αἱ κινήσεις, καὶ ἔοικε τοῖς πλάττουσιν, οὐ τοῖς
are-strong the motions and it-resembles the molders not the

τεκταινομένοις· οὐ γὰρ δι᾽ ἑτέρου θιγγάνουσα δημιουργεῖ
carpenters not for through another touching it-fashions
τὸ συνιστάμενον, ἀλλ᾽ αὐτὴ τοῖς αὑτῆς μορίοις.
the being-constituted but itself with-the its-own parts

XXIII · ANIMALS AND PLANTS

In the animals that move about the female is separate from the male, though one in species; in plants the two powers are mixed, so plants generate from themselves and emit not semen but a fetus, the so-called seeds, as Empedocles says the tall trees lay eggs. As part of an egg becomes the animal and the rest is nourishment, part of a seed becomes the plant and the rest feeds its shoot and root. Animals differ from the merely living by perception, a kind of knowledge, so male and female in them are separate and join, when they generate, as though they were a plant; the testaceans, between the two, do the work of neither.

Ἐν μὲν οὖν τοῖς ζῴοις πᾶσι τοῖς πορευτικοῖς
In indeed then the animals all the able-to-move-about
κεχώρισται τὸ θῆλυ τοῦ ἄρρενος, καὶ ἔστιν ἕτερον
has-been-separated the female from-the male and is other
ζῷον θῆλυ καὶ ἕτερον ἄρρεν, τῷ δὲ εἴδει ταὐτόν,
animal female and other male in-the but form the-same
οἷον ἄνθρωπος ἀμφότερα· ἐν δὲ τοῖς φυτοῖς μεμιγμέναι
such-as man both in but the plants mixed
αὗται αἱ δυνάμεις εἰσί, καὶ οὐ κεχώρισται τὸ
these the powers are and not has-been-separated the
θῆλυ τοῦ ἄρρενος. Διὸ καὶ γεννᾷ αὐτὰ ἐξ
female from-the male Wherefore also generate they from
αὑτῶν, καὶ προΐεται οὐ γονὴν ἀλλὰ κύημα τὰ
themselves and emit not semen but fetus the

καλούμενα σπέρματα. Καὶ τοῦτο καλῶς λέγει Ἐμπεδοκλῆς
so-called seeds And this well says Empedocles
ποιήσας
having-written

οὕτω δ' ᾠοτοκεῖ μακρὰ δένδρεα πρῶτον ἐλαίας.
so and lay-eggs tall trees first olives

Τό τε γὰρ ᾠὸν κύημά ἐστι, καὶ ἔκ τινος αὐτοῦ
The both for egg fetus is and from some of-it
γίγνεται τὸ ζῷον, τὸ δὲ λοιπὸν τροφή, καὶ ἐκ τοῦ
comes-to-be the animal the but rest nourishment also from the
σπέρματος καὶ ἐκ μέρους γίγνεται τὸ φυόμενον, τὸ
seed and from part comes-to-be the growing the
δὲ λοιπὸν τροφὴ γίγνεται τῷ βλαστῷ καὶ τῇ
but rest nourishment becomes for-the shoot and for-the
ῥίζῃ τῇ πρώτῃ. Τρόπον δέ τινα ταῦτα συμβαίνει καὶ
root the first Way and some these-things happen also
ἐν τοῖς κεχωρισμένον ἔχουσι ζῴοις τὸ θῆλυ καὶ τὸ
in the separated having animals the female and the
ἄρρεν. Ὅταν γὰρ δεήσῃ γεννᾶν, γίνεται ἀχώριστον,
male When for it-be-needful to-generate it-becomes inseparable
ὥσπερ ἐν τοῖς φυτοῖς, καὶ βούλεται ἡ φύσις αὐτῶν ἓν
just-as in the plants and wishes the nature of-them one
γίνεσθαι· ὅπερ ἐμφαίνεται κατὰ τὴν ὄψιν μιγνυμένων
to-become which-very appears to the sight being-mixed
καὶ συνδυαζομένων, ἔν τι ζῷον γίγνεσθαι ἐξ ἀμφοῖν.
and coupling one some animal to-become from both
Καὶ τὰ μὲν μὴ προϊέμενα σπέρμα πολὺν χρόνον
And the-ones indeed not emitting seed much time
συμπεπλέχθαι πέφυκεν, ἕως ἂν συστήσῃ τὸ κύημα,
to-have-been-intertwined are-natural until — it-constitute the fetus

οἷον τὰ συνδυαζόμενα τῶν ἐντόμων· τὰ δ', ἕως
such-as the coupling of-the insects the-others but until
ἂν ἀποπέμψῃ τι τῶν ἐπεισάκτων αὐτοῦ μορίων, ὃ
— it-send-off some of-the imported its-own parts which
συστήσει τὸ κύημα ἐν πλείονι χρόνῳ, οἷον ἐπὶ τῶν
will-constitute the fetus in more time such-as in-the-case-of the
ἐναίμων. Τὰ μὲν γὰρ ἡμέρας τι μόριον συνέχεται, ἡ
blooded The-ones indeed for of-a-day some part are-held-together the
δὲ γονὴ ἐν ἡμέραις συνίστησι πλείοσιν· προϊέμενα δὲ τὸ
but semen in days constitutes more emitting but the
τοιοῦτον ἀπολύεται. Καὶ ἀτεχνῶς ἔοικε τὰ ζῷα ὥσπερ
such they-are-released And simply resemble the animals just-as
φυτὰ εἶναι διαιρετά, οἷον εἴ τις κἀκεῖνα, ὅτε σπέρμα
plants to-be divided as if someone also-those when seed
ἐξενέγκειεν, διαλύσειε καὶ χωρίσειεν εἰς τὸ ἐνυπάρχον
they-had-brought-forth should-take-apart and should-separate into the being-present-in
θῆλυ καὶ ἄρρεν.
female and male
Καὶ ταῦτα πάντα εὐλόγως ἡ φύσις δημιουργεῖ. Τῆς
And these all reasonably the nature fashions Of-the
μὲν γὰρ τῶν φυτῶν οὐσίας οὐθέν ἐστιν ἄλλο ἔργον
indeed for of-the plants substance no is other work
οὐδὲ πρᾶξις οὐδεμία πλὴν ἡ τοῦ σπέρματος γένεσις,
nor action any except the of-the seed generation
ὥστ' ἐπεὶ τοῦτο διὰ τοῦ θήλεος γίνεται καὶ τοῦ
so-that since this through the female comes-to-be and the
ἄρρενος συνδεδυασμένων, μίξασα ταῦτα διέθηκε μετ'
male coupled having-mixed these it-disposed with
ἀλλήλων· διὸ ἐν τοῖς φυτοῖς ἀχώριστον τὸ θῆλυ
one-another wherefore in the plants inseparable the female
καὶ τὸ ἄρρεν. Ἀλλὰ περὶ μὲν φυτῶν ἐν ἑτέροις
and the male But about indeed plants in other-works

ἐπέσκεπται, τοῦ δὲ ζῴου οὐ μόνον τὸ γεννῆσαι
it-has-been-examined of-the but animal not only the to-generate
ἔργον (τοῦτο μὲν γὰρ κοινὸν τῶν ζώντων πάντων),
work this indeed for common of-the living all
ἀλλὰ καὶ γνώσεώς τινος πάντα μετέχουσι, τὰ μὲν
but also of-knowledge some all share the-ones indeed
πλείονος, τὰ δ' ἐλάττονος, τὰ δὲ πάμπαν μικρᾶς.
of-more the-others but of-less the-others and altogether of-small
Αἴσθησιν γὰρ ἔχουσιν, ἡ δ' αἴσθησις γνῶσίς τις. Ταύτης
Perception for they-have the and perception knowledge some Of-this
δὲ τὸ τίμιον καὶ ἄτιμον πολὺ διαφέρει σκοποῦσι
and the honorable and dishonorable much differs to-those-considering
πρὸς φρόνησιν καὶ πρὸς τὸ τῶν ἀψύχων γένος.
in-relation-to understanding and in-relation-to the of-the soulless kind
Πρὸς μὲν γὰρ τὸ φρονεῖν ὥσπερ οὐδὲν εἶναι δοκεῖ
In-relation-to indeed for the to-understand as-it-were nothing to-be seems
τὸ κοινωνεῖν ἁφῆς καὶ γεύσεως μόνον, πρὸς δὲ
the to-share of-touch and of-taste only in-relation-to but
ἀναισθησίαν βέλτιστον· ἀγαπητὸν γὰρ ἂν δόξειε καὶ
insensibility best desirable for — would-seem also
ταύτης τυχεῖν τῆς γνώσεως, ἀλλὰ μὴ κεῖσθαι τεθνεὸς καὶ
this to-obtain the knowledge but not to-lie dead and
μὴ ὄν.
not being
Διαφέρει δ' αἰσθήσει τὰ ζῷα τῶν ζώντων μόνον.
Differ and by-perception the animals from-the living only
Ἐπεὶ δ' ἀνάγκη καὶ ζῆν, ἐὰν ᾖ ζῷον, ὅταν δεήσῃ
Since and necessary also to-live if it-be animal when it-be-needful
ἀποτελεῖν τὸ τοῦ ζῶντος ἔργον, τότε συνδυάζεται καὶ
to-accomplish the of-the living work then it-couples and
μίγνυται καὶ γίγνεται ὡσπερανεὶ φυτόν, καθάπερ εἴπομεν.
is-mixed and becomes as-it-were plant just-as we-said

Τὰ δ᾽ ὀστρακόδερμα τῶν ζῴων μεταξὺ ὄντα τῶν ζῴων
The but testaceans of-the animals between being the animals
καὶ τῶν φυτῶν, ὡς ἐν ἀμφοτέροις ὄντα τοῖς γένεσιν,
and the plants as in both being the kinds
οὐδετέρων ποιεῖ τὸ ἔργον· ὡς μὲν γὰρ φυτὸν ὂν οὐκ
of-neither does the work as indeed for plant being not
ἔχει τὸ θῆλυ καὶ τὸ ἄρρεν καὶ οὐ γεννᾷ εἰς ἕτερον, ὡς δὲ
it-has the female and the male and not generates into another as but
ζῷον οὐ φέρει ἐξ αὐτοῦ καρπὸν ὥσπερ τὰ φυτά, ἀλλὰ
animal not bears from itself fruit just-as the plants but
συνίσταται καὶ γεννᾶται ἔκ τινος συστάσεως γεοειδοῦς
is-constituted and is-generated from some constitution earthy
καὶ ὑγρᾶς. Ἀλλὰ περὶ μὲν τῆς τούτων γενέσεως ὕστερον
and moist But about indeed the of-these generation later
λεκτέον.
must-be-said

BOOK II

I · WHY MALE AND FEMALE

Male and female exist because the eternal is better than the perishable, eternal only in its kind; so generation exists, and for it the sexes, the mover kept apart from matter where possible. Heat and moisture, not feet, rank the animals: the hotter and moister bear live, the hotter but drier lay complete eggs, the colder but moister selachians bear live from eggs inside, the colder and drier lay incomplete eggs, the coldest larvae. The parts form in turn, not at once as in Orpheus' verses, by a motion from the begetter, as in an automaton, not by a part already in the seed, which has soul in potential; the heart, growth's principle, forms first.

Τὸ δὲ θῆλυ καὶ τὸ ἄρρεν ὅτι μέν εἰσιν ἀρχαὶ γενέσεως
The and female and the male that indeed are principles of-generation
εἴρηται πρότερον, καὶ τίς ἡ δύναμις καὶ ὁ λόγος
it-has-been-said before and what the power and the account
τῆς οὐσίας αὐτῶν· διὰ τί δὲ γίνεται καὶ ἔστι τὸ
of-the substance of-them because-of what and comes-to-be and is the-one
μὲν θῆλυ τὸ δ' ἄρρεν, ὡς μὲν ἐξ ἀνάγκης καὶ τοῦ
indeed female the-other and male as indeed from necessity and of-the
πρώτου κινοῦντος καὶ ὁποίας ὕλης, προϊόντα πειρᾶσθαι
first mover and of-what-sort matter proceeding to-try
δεῖ φράζειν τὸν λόγον, ὡς δὲ διὰ τὸ βέλτιον καὶ τὴν
one-must to-explain the account as but because-of the better and the
αἰτίαν τὴν ἕνεκά τινος, ἄνωθεν ἔχει τὴν ἀρχήν. Ἐπεὶ
cause the for-the-sake-of something from-above it-has the principle Since
γάρ ἐστι τὰ μὲν ἀΐδια καὶ θεῖα τῶν ὄντων, τὰ δ'
for are the-ones indeed eternal and divine of-the beings the-others and
ἐνδεχόμενα καὶ εἶναι καὶ μὴ εἶναι, τὸ δὲ καλὸν καὶ τὸ θεῖον
admitting both to-be and not to-be the and beautiful and the divine
αἴτιον ἀεὶ κατὰ τὴν αὑτοῦ φύσιν τοῦ βελτίονος ἐν τοῖς
cause always according-to the its-own nature of-the better in the

ἐνδεχομένοις, τὸ δὲ μὴ ἀΐδιον ἐνδεχόμενόν ἐστι καὶ εἶναι καὶ
admitting the and not eternal admitting is both to-be and
μεταλαμβάνειν καὶ τοῦ χείρονος καὶ τοῦ βελτίονος, βέλτιον
to-partake both of-the worse and of-the better better
δὲ ψυχὴ μὲν σώματος, τὸ δ' ἔμψυχον τοῦ ἀψύχου διὰ
and soul indeed than-body the and ensouled than-the soulless because-of
τὴν ψυχήν, καὶ τὸ εἶναι τοῦ μὴ εἶναι καὶ τὸ ζῆν τοῦ
the soul and the being than-the not being and the living than-the
μὴ ζῆν, διὰ ταύτας τὰς αἰτίας γένεσις ζῴων ἐστίν.
not living because-of these the causes generation of-animals is
Ἐπεὶ γὰρ ἀδύνατος ἡ φύσις τοῦ τοιούτου γένους ἀΐδιος
Since for impossible the nature of-the such kind eternal
εἶναι, καθ' ὃν ἐνδέχεται τρόπον, κατὰ τοῦτόν ἐστιν ἀΐδιον
to-be in which is-possible way in this is eternal
τὸ γινόμενον. Ἀριθμῷ μὲν οὖν ἀδύνατον (ἡ γὰρ οὐσία τῶν
the coming-to-be In-number indeed then impossible the for substance of-the
ὄντων ἐν τῷ καθ' ἕκαστον· τοιοῦτον δ' εἴπερ ἦν, ἀΐδιον ἂν
beings in the by each such but if-indeed it-were eternal —
ἦν), εἴδει δ' ἐνδέχεται. Διὸ γένος ἀεὶ ἀνθρώπων καὶ
it-would-be in-form but it-is-possible Wherefore kind always of-men and
ζῴων ἐστὶ καὶ φυτῶν. Ἐπεὶ δὲ τούτων ἀρχὴ τὸ θῆλυ καὶ τὸ
of-animals is and of-plants Since and of-these principle the female and the
ἄρρεν, ἕνεκα τῆς γενέσεως ἂν εἴη τὸ θῆλυ καὶ τὸ ἄρρεν
male for-the-sake-of the generation — would-be the female and the male
ἐν τοῖς οὖσιν. Βελτίονος δὲ καὶ θειοτέρας τὴν φύσιν οὔσης
in the beings Better and and more-divine in-the nature being
τῆς αἰτίας τῆς κινούσης πρώτης, ᾗ ὁ λόγος ὑπάρχει
the cause the moving first in-which the account belongs
καὶ τὸ εἶδος τῆς ὕλης, βέλτιον καὶ τὸ κεχωρίσθαι τὸ
and the form than-the matter better also the to-have-been-separated the
κρεῖττον τοῦ χείρονος. Διὰ τοῦτ' ἐν ὅσοις ἐνδέχεται
stronger from-the worse Because-of this in as-many-as it-is-possible

καὶ καθ' ὅσον ἐνδέχεται, κεχώρισται τοῦ θήλεος τὸ
and by as-much-as it-is-possible has-been-separated from-the female the
ἄρρεν. Βέλτιον γὰρ καὶ θειότερον ἡ ἀρχὴ τῆς κινήσεως,
male Better for and more-divine the principle of-the motion
ᾗ ἄρρεν ὑπάρχει τοῖς γινομένοις· ὕλη δὲ τὸ ᾗ θῆλυ.
insofar-as male belongs to-the coming-to-be matter and the insofar-as female
Συνέρχεται δὲ καὶ μίγνυται πρὸς τὴν ἐργασίαν τῆς γενέσεως
Comes-together and and is-mixed for the work of-the generation
τῷ θήλει τὸ ἄρρεν· αὕτη γὰρ κοινὴ ἀμφοτέροις. Κατὰ
with-the female the male this for common to-both In-respect-of
μὲν οὖν τὸ μετέχειν τοῦ θήλεος καὶ τοῦ ἄρρενος ζῇ,
indeed then the to-share of-the female and of-the male it-lives
διὸ καὶ τὰ φυτὰ μετέχει ζωῆς· κατὰ δὲ τὴν αἴσθησιν
wherefore also the plants share of-life in-respect-of but the perception
τὸ τῶν ζῴων ἐστὶ γένος. Τούτων δὲ σχεδὸν ἐν πᾶσι τοῖς
the of-the animals is kind Of-these and nearly in all the
πορευτικοῖς κεχώρισται τὸ θῆλυ καὶ τὸ ἄρρεν διὰ τὰς
able-to-move-about has-been-separated the female and the male because-of the
εἰρημένας αἰτίας· καὶ τούτων τὰ μέν, ὥσπερ ἐλέχθη,
said causes and of-these the-ones indeed just-as was-said
προΐεται σπέρμα, τὰ δ' οὐ προΐεται ἐν τῷ συνδυασμῷ.
emit seed the-others but not emit in the coupling
Τούτου δ' αἴτιον ὅτι τὰ τιμιώτερα καὶ αὐταρκέστερα τὴν
Of-this and cause that the more-honorable and more-self-sufficient in-the
φύσιν ἐστίν, ὥστε μεγέθους μετειληφέναι. Τοῦτο δ' οὐκ ἄνευ
nature are so-that of-size to-have-taken-share This and not without
θερμότητος ψυχικῆς· ἀνάγκη γὰρ τὸ μεῖζον ὑπὸ πλείονος
heat of-soul necessary for the larger by more
κινεῖσθαι δυνάμεως, τὸ δὲ θερμὸν κινητικόν. Διόπερ, ὡς
to-be-moved power the and hot motive Wherefore as
ἐπὶ τὸ πᾶν βλέψαντας εἰπεῖν, τὰ ἔναιμα μείζω τῶν
for the whole having-looked to-say the blooded larger than-the

ἀναίμων καὶ τὰ πορευτικὰ τῶν μονίμων ζῴων· ἅπερ
bloodless and the able-to-move-about than-the stationary animals which-very
προΐεται σπέρμα διὰ τὴν θερμότητα καὶ τὸ μέγεθος.
emit seed because-of the heat and the size
Καὶ περὶ μὲν ἄρρενος καὶ θήλεος, δι' ἣν αἰτίαν ἐστὶν
And about indeed male and female because-of which cause is
ἑκάτερον, εἴρηται. Τῶν δὲ ζῴων τὰ μὲν τελεσιουργεῖ
each it-has-been-said Of-the and animals the-ones indeed complete
καὶ ἐκπέμπει θύραζε ὅμοιον ἑαυτῷ, οἷον ὅσα ζῳοτοκεῖ
and send-forth outside like to-itself such-as as-many-as bear-live
εἰς τοὐμφανές, τὰ δὲ ἀδιάρθρωτον ἐκτίκτει καὶ οὐκ
into the-open the-others and unarticulated bring-forth and not
ἀπειληφὸς τὴν αὑτοῦ μορφήν. Τῶν δὲ τοιούτων τὰ μὲν
having-taken the its-own shape Of-the and such the-ones indeed
ἔναιμα ᾠοτοκεῖ, τὰ δ' ἄναιμα σκωληκοτοκεῖ. Διαφέρει
blooded lay-eggs the-others and bloodless bear-larvae Differs
δ' ᾠὸν καὶ σκώληξ· ᾠὸν μὲν γάρ ἐστιν ἐξ οὗ γίνεται
and egg and larva egg indeed for is from which comes-to-be
τὸ γινόμενον ἐκ μέρους, τὸ δὲ λοιπόν ἐστι τροφὴ τῷ
the coming-to-be from part the but rest is nourishment for-the
γινομένῳ, σκώληξ δ' ἐξ οὗ τὸ γινόμενον ὅλου ὅλον
coming-to-be larva but from which the coming-to-be whole whole
γίνεται. Τῶν δὲ εἰς τὸ φανερὸν ὅμοιον ἀποτελούντων ζῷον
comes-to-be Of-the and into the open like completing animal
καὶ ζῳοτοκούντων τὰ μὲν εὐθὺς ἐν αὑτοῖς ζῳοτοκεῖ,
and bearing-live the-ones indeed at-once in themselves bear-live
οἷον ἄνθρωπος καὶ ἵππος καὶ βοῦς καὶ τῶν θαλαττίων
such-as man and horse and ox and of-the sea-animals
δὲ δελφὶς καὶ τἆλλα τὰ τοιαῦτα, τὰ δ' ἐν αὑτοῖς
and dolphin and the-other the such the-others but in themselves
ᾠοτοκήσαντα πρῶτον οὕτω ζῳοτοκεῖ θύραζε, οἷον τὰ
having-laid-eggs first so bear-live outside such-as the

σελάχη καλούμενα. Τῶν δ' ᾠοτοκούντων τὰ μὲν τέλειον
selachians so-called Of-the but egg-laying the-ones indeed complete
προΐεται τὸ ᾠόν, οἷον ὄρνιθες καὶ ὅσα τετράποδα
emit the egg such-as birds and as-many-as quadrupeds
ᾠοτοκεῖ καὶ ὅσα ἄποδα, οἷον σαῦραι καὶ χελῶναι καὶ
lay-eggs and as-many-as footless such-as lizards and tortoises and
τῶν ὄφεων τὸ πλεῖστον γένος (τὰ γὰρ τούτων ᾠὰ ὅταν
of-the snakes the most kind the for of-these eggs when
ἐξέλθῃ, οὐκέτι λαμβάνει αὔξησιν), τὰ δ' ἀτελῆ,
it-has-gone-out no-longer takes growth the-others but incomplete
οἷον οἵ τ' ἰχθύες καὶ τὰ μαλακόστρακα καὶ τὰ μαλάκια
such-as the both fish and the crustaceans and the cephalopods
καλούμενα· τούτων γὰρ τὰ ᾠὰ αὐξάνεται ἐξελθόντα.
so-called of-these for the eggs grow having-gone-out
Πάντα δὲ τὰ ζῳοτοκοῦντα ἢ ᾠοτοκοῦντα ἔναιμά ἐστιν,
All and the live-bearing or egg-laying blooded are
καὶ τὰ ἔναιμα ἢ ζῳοτοκεῖ ἢ ᾠοτοκεῖ, ὅσα μὴ ὅλως
and the blooded either bear-live or lay-eggs as-many-as not altogether
ἄγονά ἐστιν. Τῶν δ' ἀναίμων τὰ ἔντομα σκωληκοτοκεῖ,
infertile are Of-the and bloodless the insects bear-larvae
ὅσα ἢ ἐκ συνδυασμοῦ γίνεται ἢ αὐτὰ συνδυάζεται.
as-many-as either from coupling come-to-be or themselves couple
Ἔστι γὰρ ἔνια τοιαῦτα τῶν ἐντόμων, ἃ γίνεται μὲν
There-are for some such of-the insects which come-to-be indeed
αὐτόματα, ἔστι δὲ θήλεα καὶ ἄρρενα, καὶ ἐκ συνδυαζομένων
spontaneously are but female and male and from coupling
γίνεταί τι αὐτῶν, ἀτελὲς μέντοι τὸ γιγνόμενον· ἡ
comes-to-be something of-them incomplete however the coming-to-be the
δ' αἰτία εἴρηται πρότερον ἐν ἑτέροις. Συμβαίνει δὲ
and cause has-been-said before in other-works Happens and
πολλὴ ἐπάλλαξις τοῖς γένεσιν. Οὔτε γὰρ τὰ δίποδα πάντα
much overlapping in-the kinds Neither for the two-footed all

ζῳοτοκεῖ (οἱ γὰρ ὄρνιθες ᾠοτοκοῦσιν) οὔτ' ᾠοτοκεῖ πάντα
bear-live the for birds lay-eggs nor lay-eggs all
(ὁ γὰρ ἄνθρωπος ζῳοτοκεῖ), οὔτε τὰ τετράποδα πάντα
the for man bears-live nor the quadrupeds all
ᾠοτοκεῖ (ἵππος γὰρ καὶ βοῦς καὶ ἄλλα μυρία ζῳοτοκεῖ)
lay-eggs horse for and ox and other countless bear-live
οὔτε ζῳοτοκεῖ πάντα (σαῦραι γὰρ καὶ κροκόδειλοι καὶ
nor bear-live all lizards for and crocodiles and
ἄλλα πολλὰ ᾠοτοκοῦσιν). Οὐδ' ἐν τῷ πόδας ἔχειν ἢ μὴ
other many lay-eggs Nor in the feet to-have or not
ἔχειν διαφέρει· καὶ γὰρ ἄποδα ζῳοτοκεῖ, οἷον οἱ ἔχεις καὶ
to-have it-differs and for footless bear-live such-as the vipers and
τὰ σελάχη, τὰ δ' ᾠοτοκεῖ, οἷον τὸ τῶν ἰχθύων γένος
the selachians the-others and lay-eggs such-as the of-the fish kind
καὶ τὸ τῶν ἄλλων ὄφεων· καὶ τῶν πόδας ἐχόντων καὶ
and the of-the other snakes and of-the feet having both
ᾠοτοκεῖ πολλὰ καὶ ζῳοτοκεῖ, οἷον τὰ εἰρημένα τετράποδα.
lay-eggs many and bear-live such-as the said quadrupeds
Καὶ ἐν αὐτοῖς δὲ ζῳοτοκεῖ καὶ πόδας ἔχοντα, οἷον
Also in themselves and bear-live both feet having such-as
ἄνθρωπος, καὶ ἄποδα, οἷον φάλαινα καὶ δελφίς. Ταύτῃ
man and footless such-as whale and dolphin In-this-way
μὲν οὖν οὐκ ἔστι διελεῖν, οὐδ' αἴτιον τῆς διαφορᾶς ταύτης
indeed then not it-is to-divide nor cause of-the difference this
οὐθὲν τῶν πορευτικῶν ὀργάνων, ἀλλὰ ζῳοτοκεῖ μὲν τὰ
none of-the locomotive organs but bear-live indeed the
τελεώτερα τὴν φύσιν τῶν ζῴων καὶ μετέχοντα καθαρωτέρας
more-complete in-the nature of-the animals and sharing in-purer
ἀρχῆς· οὐθὲν γὰρ ζῳοτοκεῖ ἐν αὑτῷ, μὴ δεχόμενον τὸ
principle nothing for bears-live in itself not receiving the
πνεῦμα καὶ ἀναπνέον. Τελεώτερα δὲ τὰ θερμότερα τὴν
breath and breathing More-complete and the hotter in-the

φύσιν καὶ ὑγρότερα καὶ μὴ γεώδη. Τῆς δὲ θερμότητος τῆς
nature and moister and not earthy Of-the and heat the
φυσικῆς ὅρος ὁ πλεύμων, ὅσων ἔναιμός ἐστιν· ὅλως
natural mark the lung in-as-many-as blooded it-is generally
μὲν γὰρ τὰ ἔχοντα πλεύμονα τῶν μὴ ἐχόντων θερμότερα,
indeed for the having lung than-the not having hotter
τούτων δ' αὐτῶν τὰ μὴ σομφὸν ἔχοντα μηδὲ στιφρὸν
of-these and themselves the not spongy having nor solid
μηδ' ὀλίγαιμον ἀλλ' ἔναιμον καὶ μαλακόν. Ὥσπερ δὲ τὸ
nor little-blooded but blooded and soft Just-as and the
μὲν ζῷον τέλεον, ὁ δὲ σκώληξ καὶ τὸ ᾠὸν ἀτελές, οὕτως
indeed animal complete the but larva and the egg incomplete so
τὸ τέλειον ἐκ τοῦ τελειοτέρου γίνεσθαι πέφυκεν. Τὰ δὲ
the complete from the more-complete to-come-to-be is-natural The and
θερμότερα μὲν διὰ τὸ ἔχειν πλεύμονα, ξηρότερα δὲ τὴν
hotter indeed because-of the to-have lung drier but in-the
φύσιν, ἢ τὰ ψυχρότερα μὲν ὑγρότερα δέ, τὰ μὲν ᾠοτοκεῖ
nature or the colder indeed moister but the-ones indeed lay-eggs
τέλειον ᾠόν, τὰ δ' ᾠοτοκήσαντα ζῳοτοκεῖ ἐν αὑτοῖς.
complete egg the-others but having-laid-eggs bear-live in themselves
Οἱ μὲν γὰρ ὄρνιθες καὶ τὰ φολιδωτὰ διὰ μὲν
The indeed for birds and the scaly because-of indeed
θερμότητα τελεσιουργοῦσι, διὰ δὲ ξηρότητα ᾠοτοκοῦσι,
heat complete because-of but dryness lay-eggs
τὰ δὲ σελάχη θερμὰ μὲν ἧττον τούτων, ὑγρὰ δὲ μᾶλλον,
the and selachians hot indeed less than-these moist but more
ὥστε μετέχει ἀμφοτέρων· καὶ γὰρ ᾠοτοκεῖ καὶ ζῳοτοκεῖ ἐν
so-that they-share both and for they-lay-eggs and bear-live in
αὑτοῖς, ᾠοτοκεῖ μὲν ὅτι ψυχρά, ζῳοτοκεῖ δ' ὅτι ὑγρά·
themselves they-lay-eggs indeed because cold they-bear-live but because moist
ζωτικὸν γὰρ τὸ ὑγρόν, πορρωτάτω δὲ τοῦ ἐμψύχου τὸ
vital for the moist farthest and from-the ensouled the

ξηρόν. Ἐπεὶ δ' οὔτε πτερωτὰ οὔτε φολιδωτὰ οὔτε λεπιδωτά
dry Since and neither feathered nor scaly nor scaled
ἐστιν, ἃ σημεῖα ξηρᾶς μᾶλλον καὶ γεώδους φύσεως,
they-are which signs of-dry rather and earthy nature
μαλακὸν τὸ ᾠὸν γεννῶσιν· ὥσπερ γὰρ οὐδ' ἐν αὑτῷ, οὐδ'
soft the egg they-generate just-as for not-even in itself nor
ἐν τῷ ᾠῷ ἐπιπολάζει τὸ γεηρόν. Καὶ διὰ τοῦτο εἰς
in the egg comes-to-the-surface the earthy And because-of this into
αὑτὸ ᾠοτοκεῖ· θύραζε γὰρ ἂν ἰὸν διεφθείρετο τὸ ᾠόν, οὐκ
itself it-lays-eggs outside for — going would-be-destroyed the egg not
ἔχον προβολήν. Τὰ δὲ ψυχρὰ καὶ ξηρὰ μᾶλλον ᾠοτοκεῖ μέν,
having protection The but cold and dry rather lay-eggs indeed
ἀτελὲς δὲ τὸ ᾠόν, καὶ σκληρόδερμον δὲ διὰ τὸ γεηρὰ
incomplete but the egg and hard-skinned and because-of the earthy
εἶναι καὶ ἀτελὲς προΐεσθαι, ἵνα σώζηται φυλακὴν ἔχον
to-be and incomplete to-emit so-that it-be-preserved protection having
τὸ ὀστρακῶδες. Οἱ μὲν οὖν ἰχθύες λεπιδωτοὶ ὄντες καὶ
the shell-like The indeed then fish scaled being and
τὰ μαλακόστρακα γεηρὰ ὄντα σκληρόδερμα τὰ ᾠὰ γεννᾷ.
the crustaceans earthy being hard-skinned the eggs generate
Τὰ δὲ μαλάκια, ὥσπερ αὐτὰ γλίσχρα τὴν τοῦ σώματός
The but cephalopods just-as themselves viscous the of-the body
ἐστι φύσιν, οὕτως σώζει ἀτελῆ προϊέμενα τὰ ᾠά· προΐεται
are nature so preserve incomplete emitting the eggs they-emit
γὰρ γλισχρότητα περὶ τὸ κύημα πολλήν. Τὰ δ' ἔντομα
for viscosity about the fetus much The and insects
πάντα σκωληκοτοκεῖ. Ἔστι δ' ἄπαντα ἄναιμα τὰ ἔντομα,
all bear-larvae Are and all bloodless the insects
διὸ καὶ σκωληκοτοκοῦντα θύραζε. Τὰ δ' ἄναιμα οὐ πάντα
wherefore also bearing-larvae outside The but bloodless not all
σκωληκοτοκεῖ ἁπλῶς· ἐπαλλάττουσι γὰρ ἀλλήλοις τά τ'
bear-larvae simply overlap for with-one-another the both

ἔντομα καὶ τὰ ἀτελὲς τίκτοντα τὸ ᾠόν, οἷον οἵ τ' ἰχθύες
insects and the incomplete bearing the egg such-as the both fish
οἱ λεπιδωτοὶ καὶ τὰ μαλακόστρακα καὶ τὰ μαλάκια. Τούτων
the scaled and the crustaceans and the cephalopods Of-these
μὲν γὰρ τὰ ᾠὰ σκωληκώδη ἐστίν (αὔξησιν γὰρ λαμβάνει
indeed for the eggs larva-like are growth for they-take
θύραζε), ἐκείνων δ' οἱ σκώληκες γίνονται προϊόντες ᾠοειδεῖς·
outside of-those but the larvae become going-forth egg-like
ὃν δὲ τρόπον, ἐν τοῖς ὕστερον διοριοῦμεν. Δεῖ δὲ
in-what and way in the later-parts we-shall-determine One-must and
νοῆσαι ὡς εὖ καὶ ἐφεξῆς τὴν γένεσιν ἀποδίδωσιν ἡ φύσις.
to-understand how well and in-order the generation renders the nature
Τὰ μὲν γὰρ τελεώτερα καὶ θερμότερα τῶν ζῴων τέλειον
The indeed for more-complete and hotter of-the animals complete
ἀποδίδωσι τὸ τέκνον κατὰ τὸ ποιόν (κατὰ δὲ τὸ ποσὸν
render the offspring in-respect-of the quality in-respect-of but the quantity
ὅλως οὐθὲν τῶν ζῴων· πάντα γὰρ γενόμενα λαμβάνει
at-all none of-the animals all for having-come-to-be take
αὔξησιν), καὶ γεννᾷ δὴ ταῦτα ζῷα ἐν αὑτοῖς εὐθύς.
growth and generate indeed these animals in themselves at-once
Τὰ δὲ δεύτερα ἐν αὑτοῖς μὲν οὐ γεννᾷ τέλεια εὐθύς
The and second in themselves indeed not generate complete at-once
(ζῳοτοκεῖ γὰρ ᾠοτοκήσαντα πρῶτον), θύραζε δὲ ζῳοτοκεῖ.
they-bear-live for having-laid-eggs first outside but they-bear-live
Τὰ δὲ ζῷον μὲν οὐ τέλειον γεννᾷ, ᾠὸν δὲ γεννᾷ, καὶ
The-others and animal indeed not complete generate egg but they-generate and
τοῦτο τέλειον τὸ ᾠόν. Τὰ δ' ἔτι τούτων ψυχροτέραν ἔχοντα
this complete the egg The but still than-these colder having
τὴν φύσιν ᾠὸν μὲν γεννᾷ οὐ τέλειον δὲ ᾠόν, ἀλλ' ἔξω
the nature egg indeed generate not complete but egg but outside
τελειοῦται, καθάπερ τὸ τῶν λεπιδωτῶν ἰχθύων γένος καὶ τὰ
it-is-completed just-as the of-the scaled fish kind and the

μαλακόστρακα καὶ τὰ μαλάκια. Τὸ δὲ πέμπτον γένος καὶ
crustaceans and the cephalopods The and fifth kind and
ψυχρότατον οὐδ' ᾠοτοκεῖ ἐξ αὑτοῦ, ἀλλὰ καὶ τὸ τοιοῦτον
coldest not-even lays-eggs from itself but also the such
ἔξω συμβαίνει πάθος αὐτῷ, ὥσπερ εἴρηται. Τὰ γὰρ ἔντομα
outside happens affection to-it just-as has-been-said The for insects
σκωληκοτοκεῖ τὸ πρῶτον· προελθὼν δ' ᾠώδης γίνεται ὁ
bear-larvae the first having-gone-forth but egg-like becomes the
σκώληξ (ἡ γὰρ χρυσαλλὶς καλουμένη δύναμιν ᾠοῦ ἔχει)· εἶτ'
larva the for chrysalis so-called power of-egg has then
ἐκ τούτου γίνεται ζῷον, ἐν τῇ τρίτῃ μεταβολῇ λαβὸν τὸ
from this comes-to-be animal in the third change having-taken the
τῆς γενέσεως τέλος. Τὰ μὲν οὖν οὐ γίνεται τῶν ζώων ἀπὸ
of-the generation end The-ones indeed then not come-to-be of-the animals from
σπέρματος, ὥσπερ ἐλέχθη καὶ πρότερον· τὰ δ' ἔναιμα πάντα
seed just-as was-said also before the but blooded all
γίνεται ἀπὸ σπέρματος, ὅσα ἐκ συνδυασμοῦ γίνεται,
come-to-be from seed as-many-as from coupling come-to-be
προϊεμένου τοῦ ἄρρενος εἰς τὸ θῆλυ γονήν, ἧς εἰσελθούσης
emitting the male into the female semen which having-entered
τὰ ζῷα συνίσταται καὶ λαμβάνει τὴν οἰκείαν μορφήν,
the animals are-constituted and take the proper shape
τὰ μὲν ἐν αὐτοῖς τοῖς ζώοις ὅσα ζῳοτοκεῖ, τὰ δ'
the-ones indeed in themselves the animals as-many-as bear-live the-others and
ἐν ᾠοῖς καὶ σπέρμασι καὶ τοιαύταις ἄλλαις ἀποκρίσεσιν.
in eggs and seeds and such other secretions
Περὶ ὧν ἐστὶν ἀπορία πλείων, πῶς ποτὲ γίνεται ἐκ τοῦ
About which there-is puzzle more how ever comes-to-be from the
σπέρματος τὸ φυτὸν ἢ τῶν ζώων ὁτιοῦν. Ἀνάγκη γὰρ
seed the plant or of-the animals any-whatever Necessary for
τὸ γιγνόμενον καὶ ἔκ τινος γίνεσθαι καὶ ὑπό τινος καὶ
the coming-to-be both from something to-come-to-be and by something and

τί. Ἐξ οὗ μὲν οὖν ἐστὶν ὕλη, ἣν ἔνια μὲν ζῷα ἔχει
something From which indeed then is matter which some indeed animals have
πρώτην ἐν αὑτοῖς, λαμβάνοντα ἐκ τοῦ θήλεος, οἷον ὅσα
first in themselves taking from the female such-as as-many-as
μὴ ζῳοτοκεῖται ἀλλὰ σκωληκοτοκεῖται ἢ ᾠοτοκεῖται,
not are-born-live but are-born-as-larvae or are-born-as-eggs
τὰ δὲ μέχρι πόρρω ἐκ τοῦ θήλεος λαμβάνει διὰ τὸ
the-others and up-to far from the female take because-of the
θηλάζειν, ὥσπερ ὅσα ζῳοτοκεῖται μὴ μόνον ἐκτὸς ἀλλὰ
suckling just-as as-many-as are-born-live not only outside but
καὶ ἐντός. Ἐξ οὗ μὲν οὖν γίνεται, ἡ τοιαύτη ὕλη ἐστίν·
also inside From which indeed then comes-to-be the such matter is
ζητεῖται δὲ νῦν οὐκ ἐξ οὗ ἀλλ' ὑφ' οὗ γίνεται τὰ μόρια.
is-sought and now not from which but by which come-to-be the parts
Ἤτοι γὰρ τῶν ἔξωθέν τι ποιεῖ, ἢ ἐνυπάρχει τι ἐν
Either for of-the from-outside something makes or is-present-in something in
τῇ γονῇ καὶ σπέρματι· καὶ τοῦτ' ἐστὶν ἢ μέρος τι ψυχῆς
the semen and seed and this is either part some of-soul
ἢ ψυχὴ ἢ ἔχον ἂν εἴη ψυχήν. Τῶν μὲν οὖν ἔξωθέν
or soul or having — would-be soul Of-the indeed then from-outside
τι ποιεῖν ἕκαστον ἢ τῶν σπλάγχνων ἢ τῶν ἄλλων
something to-make each either of-the viscera or of-the other
μερῶν ἄλογον ἂν δόξειεν· κινεῖν τε γὰρ μὴ ἁπτόμενον
parts irrational — would-seem to-move both for not touching
ἀδύνατον καὶ μὴ κινοῦντος πάσχειν τι ὑπὸ τούτου.
impossible and not moving to-suffer something by this
Ἐν αὐτῷ ἄρα τῷ κυήματι ἐνυπάρχει τι, ἢ δὴ
In itself then the fetus is-present-in something either indeed
αὐτοῦ μόριον ἢ κεχωρισμένον. Τὸ μὲν οὖν ἄλλο τι
of-it part or separated The indeed then other something
εἶναι κεχωρισμένον ἄλογον. Γεννηθέντος γὰρ τοῦ ζῴου
to-be separated irrational Having-been-generated for the animal

πότερον φθείρεται ἢ ἐμμένει; Ἀλλ' οὐδὲν τοιοῦτον φαίνεται
whether is-destroyed or remains But nothing such appears
ἐνὸν ὃ οὐ μόριον τοῦ ὅλου ἢ φυτοῦ ἢ ζῴου ἐστίν.
being-in which not part of-the whole either of-plant or of-animal is
Ἀλλὰ μὴν καὶ τὸ φθείρεσθαί γε ποιῆσαν εἴτε πάντα
But truly also the to-be-destroyed at-least having-made whether all
τὰ μέρη εἴτε τινὰ ἄτοπον· τὰ λοιπὰ γὰρ τί ποιήσει; Εἰ
the parts or some strange the rest for what will-make If
γὰρ ἐκεῖνο μὲν τὴν καρδίαν, εἶτ' ἐφθάρη, αὕτη δ' ἕτερον,
for that indeed the heart then was-destroyed this and other
τοῦ αὐτοῦ λόγου ἢ πάντα φθείρεσθαι ἢ πάντα μένειν.
of-the same account either all to-be-destroyed or all to-remain
Σώζεται ἄρα. Αὐτοῦ ἄρα μόριόν ἐστιν, ὃ εὐθὺς ἐνυπάρχει
It-is-preserved then Of-it then part is which at-once is-present-in
ἐν τῷ σπέρματι. Εἰ δὲ δὴ μή ἐστι τῆς ψυχῆς μηθὲν
in the seed If but indeed not is of-the soul nothing
ὃ μὴ τοῦ σώματός ἐστιν ἔν τινι μορίῳ, καὶ ἔμψυχον
which not of-the body is in some part also ensouled
ἄν τι εἴη μόριον εὐθύς. Τὰ οὖν ἄλλα πῶς; Ἢ γάρ
— some would-be part at-once The then others how Either for
τοι ἅμα πάντα γίγνεται τὰ μόρια, οἷον καρδία πλεύμων
indeed at-once all come-to-be the parts such-as heart lung
ἢπαρ ὀφθαλμὸς καὶ τῶν ἄλλων ἕκαστον, ἢ ἐφεξῆς, ὥσπερ
liver eye and of-the others each or in-order just-as
ἐν τοῖς καλουμένοις Ὀρφέως ἔπεσιν· ἐκεῖ γὰρ ὁμοίως
in the so-called of-Orpheus verses there for likewise
φησὶ γίγνεσθαι τὸ ζῷον τῇ τοῦ δικτύου πλοκῇ.
he-says to-come-to-be the animal to-the of-the net plaiting
Ὅτι μὲν οὖν οὐχ ἅμα, καὶ τῇ αἰσθήσει ἐστὶ φανερόν·
That indeed then not at-once also to-the perception it-is evident
τὰ μὲν γὰρ φαίνεται ἐνόντα ἤδη τῶν μορίων, τὰ
the-ones indeed for appear being-in already of-the parts the-others

δ᾽ οὔ. Ὅτι δ᾽ οὐ διὰ μικρότητα οὐ φαίνεται, δῆλον·
but not That but not because-of smallness not they-appear clear
μείζων γὰρ τὸ μέγεθος ὢν ὁ πνεύμων τῆς καρδίας
larger for in-the size being the lung than-the heart
ὕστερον φαίνεται τῆς καρδίας ἐν τῇ ἐξ ἀρχῆς γενέσει.
later appears than-the heart in the from beginning generation
Ἐπεὶ δὲ τὸ μὲν πρότερον τὸ δ᾽ ὕστερον, πότερον
Since and the-one indeed earlier the-other and later whether
θάτερον ποιεῖ θάτερον, καὶ ἔστι διὰ τὸ ἐχόμενον, ἢ
the-one makes the-other and is because-of the next or
μᾶλλον μετὰ τόδε γίνεται τόδε; λέγω δ᾽ οἷον οὐχ ἡ
rather after this comes-to-be this I-mean and such-as not the
καρδία γενομένη ποιεῖ τὸ ἧπαρ, τοῦτο δ᾽ ἕτερόν τι,
heart having-come-to-be makes the liver this and other something
ἀλλὰ τόδε μετὰ τόδε, ὥσπερ μετὰ τὸ παῖς ἀνὴρ γίνεται,
but this after this just-as after the child man comes-to-be
ἀλλ᾽ οὐχ ὑπ᾽ ἐκείνου. Λόγος δὲ τούτου, ὅτι ὑπὸ τοῦ
but not by that Account and of-this that by the
ἐντελεχείᾳ ὄντος τὸ δυνάμει ὂν γίνεται ἐν τοῖς φύσει ἢ
in-actuality being the in-potentiality being comes-to-be in the by-nature or
τέχνῃ γινομένοις, ὥστε δέοι ἂν τὸ εἶδος καὶ τὴν
by-art coming-to-be so-that it-would-be-needful — the form and the
μορφὴν ἐν ἐκείνῳ εἶναι, οἷον ἐν τῇ καρδίᾳ τὸ τοῦ ἥπατος.
shape in that to-be such-as in the heart the of-the liver
Καὶ ἄλλως δ᾽ ἄτοπος καὶ πλασματίας ὁ λόγος. Ἀλλὰ μὴν
Also otherwise and strange and fictitious the account But truly
καὶ τὸ ἐν τῷ σπέρματι εὐθὺς ἐνυπάρχειν τι μόριον τοῦ
also the in the seed at-once to-be-present-in some part of-the
ζῴου ἢ φυτοῦ γεγενημένον, εἴτε δυνάμενον ποιεῖν τἆλλα εἴτε
animal or plant having-come-to-be whether able to-make the-rest or
μή, ἀδύνατον, εἰ πᾶν ἐκ σπέρματος καὶ γονῆς γίγνεται.
not impossible if everything from seed and semen comes-to-be

Δῆλον γὰρ ὅτι ὑπὸ τοῦ τὸ σπέρμα ποιήσαντος ἐγένετο,
Clear for that by the the seed having-made it-came-to-be
εἴπερ εὐθὺς ἐνυπάρχει. Ἀλλὰ σπέρμα δεῖ γενέσθαι πρότερον,
if-indeed at-once it-is-present-in But seed must to-come-to-be first
καὶ τοῦτ' ἔργον τοῦ γεννῶντος. Οὐθὲν ἄρα οἷόν τε μόριον
and this work of-the generator No then possible — part
ὑπάρχειν. Οὐκ ἄρα ἔχει τὸ ποιοῦν τὰ μόρια ἐν αὐτῷ. Ἀλλὰ
to-be-present Not then has the making the parts in itself But
μὴν οὐδ' ἔξω· ἀνάγκη δὲ τούτων εἶναι θάτερον, πειρατέον
truly not-even outside necessary but of-these to-be one-of-the-two it-must-be-tried
δὴ ταῦτα λύειν· ἴσως γάρ τι τῶν εἰρημένων ἐστὶν
indeed these to-resolve perhaps for something of-the said is
οὐχ ἁπλοῦν, οἷον πῶς ποτὲ ὑπὸ τοῦ ἔξω οὐκ ἐνδέχεται
not simple such-as how ever by the outside not it-is-possible
γίνεσθαι. Ἔστι μὲν γὰρ ὡς ἐνδέχεται, ἔστι δ' ὡς οὔ. Τὸ
to-come-to-be It-is indeed for how it-is-possible it-is but how not The
μὲν οὖν τὸ σπέρμα λέγειν ἢ ἀφ' οὗ τὸ σπέρμα οὐθὲν
indeed then the seed to-say or from which the seed nothing
διαφέρει ᾗ ἔχει τὴν κίνησιν ἐν ἑαυτῷ, ἣν ἐκεῖνο ἐκίνει.
differs insofar-as it-has the motion in itself which that moved
Ἐνδέχεται δὲ τόδε μὲν τόδε κινῆσαι, τόδε δὲ τόδε, καὶ
It-is-possible and this indeed this to-move this and this and
εἶναι οἷον τὰ αὐτόματα τῶν θαυμάτων. Ἔχοντα γάρ πως
to-be such-as the automatic of-the marvels Having for somehow
ὑπάρχει δύναμιν τὰ μόρια ἠρεμοῦντα· ὧν τὸ πρῶτον
belong power the parts resting of-which the first
ὅταν τι κινήσῃ τῶν ἔξωθεν, εὐθὺς τὸ ἐχόμενον γίγνεται
when something move of-the from-outside at-once the next becomes
ἐνεργείᾳ. Ὥσπερ οὖν ἐν τοῖς αὐτομάτοις, τρόπον μέν τινα
in-actuality Just-as then in the automata in-a-way indeed some
ἐκεῖνο κινεῖ οὐχ ἁπτόμενον νῦν οὐθενός, ἁψάμενον μέντοι·
that moves not touching now anything having-touched however

ὁμοίως δὲ καὶ ἀφ᾽ οὗ τὸ σπέρμα ἢ τὸ ποιῆσαν τὸ
likewise and also from which the seed or the having-made the
σπέρμα, ἁψάμενον μέν τινος, οὐχ ἁπτόμενον δ᾽ ἔτι·
seed having-touched indeed something not touching but any-longer
τρόπον δέ τινα ἡ ἐνοῦσα κίνησις, ὥσπερ ἡ οἰκοδόμησις
in-a-way and some the being-in motion just-as the building
τὴν οἰκίαν. Ὅτι μὲν οὖν ἔστι τι ὃ ποιεῖ, οὐχ οὕτως
the house That indeed then there-is something which makes not so
δὲ ὡς τόδε τι, οὐδ᾽ ἐνυπάρχει ὡς τετελεσμένον τὸ
but as this something nor is-present-in as completed the
πρῶτον, δῆλον· πῶς δέ ποτε ἕκαστον γίγνεται, ἐντεῦθεν
first clear how and ever each comes-to-be from-here
δεῖ λαβεῖν, ἀρχὴν ποιησαμένους πρῶτον μὲν ὅτι
one-must to-take beginning having-made first indeed that
ὅσα φύσει γίγνεται ἢ τέχνῃ, ὑπ᾽ ἐνεργείᾳ ὄντος γίνεται
as-many-as by-nature come-to-be or by-art by in-actuality being come-to-be
ἐκ τοῦ δυνάμει τοιούτου. Τὸ μὲν οὖν σπέρμα τοιοῦτον,
from the in-potentiality such The indeed then seed such
καὶ ἔχει κίνησιν καὶ ἀρχὴν τοιαύτην, ὥστε παυομένης
and has motion and principle such so-that ceasing
τῆς κινήσεως γίνεσθαι ἕκαστον τῶν μορίων καὶ ἔμψυχον.
the motion to-come-to-be each of-the parts and ensouled
Οὐ γάρ ἐστι πρόσωπον μὴ ἔχον ψυχήν, οὐδὲ σάρξ, ἀλλὰ
Not for is face not having soul nor flesh but
φθαρέντα ὁμωνύμως λεχθήσεται τὸ μὲν εἶναι πρόσωπον
having-perished homonymously will-be-called the-one indeed to-be face
τὸ δὲ σάρξ, ὥσπερ κἂν εἰ ἐγίγνετο λίθινα ἢ ξύλινα.
the-other and flesh just-as even if they-came-to-be of-stone or of-wood
Ἅμα δὲ τὰ ὁμοιομερῆ γίνεται καὶ τὰ ὀργανικά· καὶ ὥσπερ
At-once and the uniform come-to-be and the instrumental and just-as
οὐδ᾽ ἂν πέλεκυν οὐδ᾽ ἄλλο ὄργανον φήσαιμεν ἂν ποιῆσαι
not-even — axe nor other instrument would-we-say — to-make

τὸ πῦρ μόνον, οὕτως οὐδὲ πόδα οὐδὲ χεῖρα. Τὸν αὐτὸν
the fire alone so not-even foot nor hand The same
δὲ τρόπον οὐδὲ σάρκα· καὶ γὰρ ταύτης ἔργόν τι ἐστίν.
and way not-even flesh and for of-this work some is
Σκληρὰ μὲν οὖν καὶ μαλακὰ καὶ γλίσχρα καὶ κραῦρα,
Hard indeed then and soft and viscous and brittle
καὶ ὅσα ἄλλα πάθη ὑπάρχει τοῖς ἐμψύχοις μορίοις,
and as-many-as other affections belong to-the ensouled parts
θερμότης καὶ ψυχρότης ποιήσειεν ἄν, τὸν δὲ λόγον ᾧ
heat and coldness would-make — the but account by-which
ἤδη τὸ μὲν σὰρξ τὸ δ' ὀστοῦν, οὐκέτι, ἀλλ' ἡ
already the-one indeed flesh the-other and bone no-longer but the
κίνησις ἡ ἀπὸ τοῦ γεννήσαντος τοῦ ἐντελεχείᾳ ὄντος ὅ
motion the from the generator the in-actuality being which
ἐστι δυνάμει ἡ ἐξ οὗ γίνεται, ὥσπερ καὶ ἐπὶ τῶν
is in-potentiality that from which comes-to-be just-as also in-the-case-of the
γινομένων κατὰ τέχνην. Σκληρὸν μὲν γὰρ καὶ μαλακὸν
coming-to-be by art Hard indeed for and soft
τὸν σίδηρον ποιεῖ τὸ θερμὸν καὶ τὸ ψυχρόν, ἀλλὰ ξίφος
the iron makes the hot and the cold but sword
ἡ κίνησις ἡ τῶν ὀργάνων ἔχουσα λόγον τὸν τῆς τέχνης.
the motion the of-the instruments having account the of-the art
Ἡ γὰρ τέχνη ἀρχὴ καὶ εἶδος τοῦ γινομένου, ἀλλ' ἐν ἑτέρῳ·
The for art principle and form of-the coming-to-be but in another
ἡ δὲ τῆς φύσεως κίνησις ἐν αὐτῷ ἀφ' ἑτέρας οὖσα φύσεως
the but of-the nature motion in itself from other being nature
τῆς ἐχούσης τὸ εἶδος ἐνεργείᾳ. Πότερον δ' ἔχει ψυχὴν τὸ
the having the form in-actuality Whether and has soul the
σπέρμα ἢ οὔ; Ὁ αὐτὸς λόγος καὶ περὶ τῶν μορίων· οὔτε
seed or not The same account also about the parts neither
γὰρ ψυχὴ ἐν ἄλλῳ οὐδεμία ἔσται πλὴν ἐν ἐκείνῳ οὗ γ'
for soul in other none will-be except in that of-which at-least

ἐστίν, οὔτε μόριον ἔσται μὴ μετέχον ἀλλ᾽ ἢ ὁμωνύμως,
it-is nor part will-be not sharing but only homonymously
ὥσπερ τεθνεῶτος ὀφθαλμός. Δῆλον οὖν ὅτι καὶ ἔχει καὶ
just-as of-a-dead-man eye Clear then that both it-has and
ἔστι δυνάμει. Ἐγγυτέρω δὲ καὶ πορρωτέρω αὐτὸ αὑτοῦ
it-is in-potentiality Nearer and and farther it than-itself
ἐνδέχεται εἶναι δυνάμει, ὥσπερ ὁ καθεύδων γεωμέτρης
it-is-possible to-be in-potentiality just-as the sleeping geometer
τοῦ ἐγρηγορότος πορρωτέρω, καὶ οὗτος τοῦ θεωροῦντος.
than-the waking farther and this-one than-the contemplating
Ταύτης μὲν οὖν οὐθὲν μόριον αἴτιον τῆς γενέσεως, ἀλλὰ
Of-this indeed then no part cause of-the generation but
τὸ πρῶτον κινῆσαν ἔξωθεν. Οὐθὲν γὰρ αὐτὸ ἑαυτὸ γεννᾷ·
the first having-moved from-outside Nothing for itself itself generates
ὅταν δὲ γένηται, αὔξει ἤδη αὐτὸ ἑαυτό. Διόπερ πρῶτόν
when but it-come-to-be it-grows already itself itself Wherefore first
τι γίγνεται, καὶ οὐχ ἅμα πάντα. Τοῦτο δὲ γίγνεσθαι
something comes-to-be and not at-once all This and to-come-to-be
ἀνάγκη πρῶτον, ὃ αὐξήσεως ἀρχὴν ἔχει· εἴτε γὰρ φυτὸν
necessary first which of-growth principle has whether for plant
εἴτε ζῷον, ὁμοίως τοῦτο πᾶσιν ὑπάρχει τὸ θρεπτικόν.
or animal likewise this to-all belongs the nutritive
Τοῦτο δ᾽ ἔστι τὸ γεννητικὸν ἑτέρου οἷον αὐτό· τοῦτο γὰρ
This and is the generative of-another like itself this for
παντὸς φύσει τελείου ἔργον καὶ ζῴου καὶ φυτοῦ. Ἀνάγκη
of-every by-nature complete work both of-animal and of-plant Necessary
δὲ διὰ τόδε, ὅτι ὅταν τι γένηται, αὐξάνεσθαι ἀνάγκη.
and because-of this that when something come-to-be to-grow necessary
Ἐγέννησε μὲν τοίνυν τὸ συνώνυμον, οἷον ἄνθρωπος
Generated indeed then the same-named such-as man
ἄνθρωπον, αὔξεται δὲ δι᾽ ἑαυτοῦ. Αὐτὸ ἄρα τι ὂν
man grows but through itself Itself then something being

αὔξει. Εἰ δὴ ἕν τι καὶ τοῦτο πρῶτον, τοῦτο ἀνάγκη
it-grows If indeed one something also this first this necessary
γίγνεσθαι πρῶτον. Ὥστ᾽ εἰ ἡ καρδία πρῶτον ἔν τισι ζῴοις
to-come-to-be first So-that if the heart first in some animals
γίγνεται, ἐν δὲ τοῖς μὴ ἔχουσι καρδίαν τὸ ταύτῃ ἀνάλογον,
comes-to-be in and the not having heart the to-this analogous
ἐκ ταύτης ἂν εἴη ἡ ἀρχὴ τοῖς ἔχουσι, τοῖς δ᾽ ἄλλοις
from this — would-be the principle for-the having for-the and others
ἐκ τοῦ ἀνάλογον. Τί μὲν οὖν ἐστὶν αἴτιον ὡς ἀρχὴ τῆς
from the analogous What indeed then is cause as principle of-the
περὶ ἕκαστον γενέσεως, κινοῦν πρῶτον καὶ δημιουργοῦν,
about each generation moving first and fashioning
εἴρηται πρὸς τὰ διαπορηθέντα πρότερον·
it-has-been-said with-regard-to the puzzled-over before

II · THE NATURE OF SEMEN

Semen leaves the body thick and white and cools to water, yet heat does not thicken water. It is water and hot breath, a foam, thick and white like oil and snow; the water stays when the hot breath leaves, and like air it does not freeze. Ctesias erred on elephant seed, Herodotus on black Ethiopian seed. Aphrodite is named from this foam.

Περὶ δὲ τῆς τοῦ σπέρματος φύσεως ἀπορήσειεν ἄν τις.
About and the of-the seed nature would-be-puzzled — someone
Τὸ γὰρ σπέρμα ἐξέρχεται μὲν ἐκ τοῦ ζῴου παχὺ καὶ
The for seed comes-out indeed from the animal thick and
λευκόν, ψυχόμενον δὲ γίνεται ὑγρὸν ὥσπερ ὕδωρ, καὶ τὸ
white being-cooled but becomes moist like water and the
χρῶμα ὕδατος. Ἄτοπον δὴ ἂν δόξειεν· οὐ γὰρ παχύνεται
color of-water Strange indeed — would-seem not for is-thickened

ὕδωρ θερμῷ, τὸ δ' ἔσωθεν ἐκ θερμοῦ ἐξέρχεται παχύ,
water by-heat the but from-within from hot comes-out thick
ψυχόμενον δὲ γίνεται ὑγρόν. Καίτοι πήγνυταί γε τὰ
being-cooled and becomes moist And-yet freeze at-least the
ὑδατώδη· τὸ δὲ σπέρμα οὐ πήγνυται τιθέμενον ἐν τοῖς
watery the but seed not freezes placed in the
πάγοις ὑπαίθριον, ἀλλ' ὑγραίνεται, ὡς ὑπὸ τοῦ ἐναντίου
frosts in-the-open but is-liquefied as by the opposite
παχυνθέν. Ἀλλὰ μὴν οὐδ' ὑπὸ θερμοῦ παχύνεσθαι
thickened But truly not-even by heat to-be-thickened
εὔλογον. Ὅσα γὰρ γῆς πλεῖον ἔχει, ταῦτα συνίσταται
reasonable As-many-as for earth more have these set
καὶ παχύνεται ἑψόμενα, οἷον καὶ τὸ γάλα. Ἔδει οὖν
and are-thickened being-boiled such-as also the milk It-should then
ψυχόμενον στερεοῦσθαι. Νῦν δ' οὐθὲν γίνεται στερεόν,
being-cooled to-become-solid Now but nothing becomes solid
ἀλλὰ πᾶν ὥσπερ ὕδωρ. Ἡ μὲν οὖν ἀπορία αὕτη ἐστίν.
but all like water The indeed then puzzle this is
Εἰ μὲν γὰρ ὕδωρ, τὸ ὕδωρ οὐ φαίνεται παχυνόμενον
If indeed for water the water not appears being-thickened
ὑπὸ τοῦ θερμοῦ, τὸ δ' ἐξέρχεται παχὺ καὶ θερμὸν καὶ
by the heat the but comes-out thick and hot and
ἐκ θερμοῦ τοῦ σώματος· εἰ δ' ἐκ γῆς ἢ μικτὸν γῆς
from hot the body if but from earth or mixed of-earth
καὶ ὕδατος, οὐκ ἔδει ὑγρὸν πᾶν γίνεσθαι καὶ ὕδωρ.
and water not should moist all to-become and water
Ἢ οὐ πάντα τὰ συμβαίνοντα διῃρήκαμεν. Οὐ γὰρ μόνον
Or not all the happenings we-have-distinguished Not for only
παχύνεται τὸ ἐξ ὕδατος καὶ γεώδους συνιστάμενον ὑγρόν,
is-thickened the from water and earthy being-constituted moist
ἀλλὰ καὶ τὸ ἐξ ὕδατος καὶ πνεύματος, οἷον καὶ ὁ ἀφρὸς
but also the from water and breath as also the foam

γίνεται παχύτερος καὶ λευκός, καὶ ὅσῳ ἂν ἐλάττους καὶ
becomes thicker and white and by-as-much-as — smaller and
ἀδηλότεραι αἱ πομφόλυγες ὦσι, τοσούτῳ καὶ λευκότερος καὶ
less-visible the bubbles be by-so-much both whiter and
στιφρότερος ὁ ὄγκος φαίνεται. Τὸ δ' αὐτὸ καὶ τὸ ἔλαιον
firmer the bulk appears The and same also the oil
πάσχει· παχύνεται γὰρ τῷ πνεύματι μιγνύμενον· διὸ καὶ
suffers it-is-thickened for by-the breath being-mixed wherefore also
τὸ λευκαινόμενον παχύτερον γίνεται, τοῦ ἐνόντος ὑδατώδους
the whitening thicker becomes the being-in watery
ὑπὸ τοῦ θερμοῦ διακρινομένου καὶ γινομένου πνεύματος.
by the heat being-separated and becoming breath
Καὶ ἡ μολύβδαινα μιγνυμένη ὕδατι ἢ καὶ ἐλαίῳ ἐξ
And the galena mixed with-water or also with-oil from
ὀλίγου τε πολὺν ὄγκον ποιεῖ καὶ ἐξ ὑγροῦ στιφρὸν καὶ
little both much bulk makes and from moist firm and
ἐκ μέλανος λευκόν. Αἴτιον δ' ὅτι ἐγκαταμίγνυται πνεῦμα,
from black white Cause and that is-mixed-in breath
ὃ τόν τε ὄγκον ποιεῖ καὶ τὴν λευκότητα διαφαίνει,
which the both bulk makes and the whiteness shows-through
ὥσπερ ἐν τῷ ἀφρῷ καὶ τῇ χιόνι· καὶ γὰρ ἡ χιών ἐστιν
just-as in the foam and the snow and for the snow is
ἀφρός. Καὶ αὐτὸ τὸ ὕδωρ τῷ ἐλαίῳ μιγνύμενον γίνεται
foam And itself the water with-the oil mixed becomes
παχὺ καὶ λευκόν· καὶ γὰρ ὑπὸ τῆς τρίψεως ἐγκατακλείεται
thick and white and for by the rubbing is-shut-in
πνεῦμα, καὶ αὐτὸ τὸ ἔλαιον ἔχει πνεῦμα πολύ· ἔστι γὰρ
breath and itself the oil has breath much is for
οὔτε γῆς οὔτε ὕδατος ἀλλὰ πνεύματος τὸ λιπαρόν.
neither of-earth nor of-water but of-breath the oily

Διὸ καὶ ἐπὶ τῷ ὕδατι ἐπιπολάζει· ὁ γὰρ ἐν αὐτῷ
Wherefore also on the water floats the for in it
ὢν ἀήρ, ὥσπερ ἐν ἀγγείῳ, φέρει ἄνω καὶ ἐπιπολάζει
being air just-as in vessel carries up and floats
καὶ αἴτιος τῆς κουφότητός ἐστιν. Καὶ ἐν τοῖς ψύχεσι δὲ
and cause of-the lightness is Also in the colds and
καὶ πάγοις παχύνεται τὸ ἔλαιον, πήγνυται δ' οὔ· διὰ
and frosts is-thickened the oil freezes but not because-of
μὲν γὰρ θερμότητα οὐ πήγνυται (ὁ γὰρ ἀὴρ θερμὸν καὶ
indeed for heat not freezes the for air hot and
ἄπηκτον), διὰ δὲ τὸ συνίστασθαι αὐτὸν καὶ πυκνοῦσθαι
unfreezable because-of and the to-be-constituted it and to-be-condensed
ὥσπερ ὑπὸ τοῦ ψύχους παχύτερον γίνεται τὸ ἔλαιον.
just-as by the cold thicker becomes the oil
Διὰ ταύτας τὰς αἰτίας καὶ τὸ σπέρμα ἔσωθεν μὲν
Because-of these the causes also the seed from-within indeed
ἐξέρχεται στιφρὸν καὶ λευκόν, ὑπὸ τῆς ἐντὸς θερμότητος
comes-out firm and white by the inside heat
πνεῦμα πολὺ ἔχον θερμόν, ἐξελθόντος δὲ ὅταν ἀποπνεύσῃ
breath much having hot having-come-out and when it-breathe-out
τὸ θερμὸν καὶ ὁ ἀὴρ ψυχθῇ, ὑγρὸν γίνεται καὶ μέλαν·
the hot and the air be-cooled moist becomes and dark
λείπεται γὰρ τὸ ὕδωρ καὶ εἴ τι μικρὸν γεῶδες, ὥσπερ ἐν
is-left for the water and if any little earthy just-as in
φλέγματι, καὶ ἐν τῷ σπέρματι ξηραινομένῳ. Ἔστι μὲν οὖν
phlegm also in the seed drying It-is indeed then
τὸ σπέρμα κοινὸν πνεύματος καὶ ὕδατος, τὸ δὲ πνεῦμά
the seed common of-breath and of-water the and breath
ἐστι θερμὸς ἀήρ· διὸ ὑγρὸν τὴν φύσιν, ὅτι ἐξ ὕδατος.
is hot air wherefore moist in-the nature because from water

Κτησίας γὰρ ὁ Κνίδιος ἃ περὶ τοῦ σπέρματος τῶν
Ctesias for the Cnidian what about the seed of-the
ἐλεφάντων εἴρηκε, φανερός ἐστιν ἐψευσμένος. Φησὶ γὰρ
elephants he-has-said evident is having-been-deceived He-says for
οὕτω σκληρύνεσθαι ξηραινόμενον ὥστε γίνεσθαι ἠλέκτρῳ
so to-harden drying so-that to-become to-amber
ὅμοιον. Τοῦτο δ' οὐ γίνεται· μᾶλλον μὲν γὰρ ἕτερον
like This but not happens more indeed for one
ἑτέρου σπέρμα γεωδέστερον ἀναγκαῖον εἶναι, καὶ μάλιστα
than-another seed more-earthy necessary to-be and most
τοιοῦτον ὅσοις πολὺ γεῶδες ὑπάρχει κατὰ τὸν ὄγκον
such in-whom much earthy belongs in-respect-of the bulk
τὸν τοῦ σώματος. Παχὺ δὲ καὶ λευκὸν διὰ τὸ
the of-the body Thick and and white because-of the
μεμῖχθαι πνεῦμα. Καὶ γὰρ λευκόν ἐστι τὸ σπέρμα
to-have-been-mixed breath And for white is the seed
πάντων· Ἡρόδοτος γὰρ οὐκ ἀληθῆ λέγει, φάσκων μέλαιναν
of-all Herodotus for not true says asserting black
εἶναι τὴν τῶν Αἰθιόπων γονήν, ὥσπερ ἀναγκαῖον ὂν τῶν
to-be the of-the Ethiopians semen just-as necessary being of-the
τὴν χρόαν μελάνων εἶναι πάντα μέλανα, καὶ ταῦθ' ὁρῶν
in-the color black to-be all black and these-things seeing
καὶ τοὺς ὀδόντας αὐτῶν ὄντας λευκούς. Αἴτιον δὲ τῆς
also the teeth of-them being white Cause and of-the
λευκότητος τοῦ σπέρματος ὅτι ἐστὶν ἡ γονὴ ἀφρός, ὁ δ'
whiteness of-the seed that is the semen foam the and
ἀφρὸς λευκόν, καὶ μάλιστα τὸ ἐξ ὀλιγίστων συγκείμενον
foam white and most the from smallest composed
μορίων καὶ οὕτω μικρῶν ὥσπερ ἑκάστης ἀοράτου τῆς
parts and so small just-as each invisible the
πομφόλυγος οὔσης, ὅπερ συμβαίνει καὶ ἐπὶ τοῦ
bubble being which-very happens also in-the-case-of the

ὕδατος καὶ τοῦ ἐλαίου μιγνυμένων καὶ τριβομένων, καθάπερ
water and the oil being-mixed and being-rubbed just-as
ἐλέχθη πρότερον. Ἔοικε δὲ οὐδὲ τοὺς ἀρχαίους λανθάνειν
was-said before Seems and not-even the ancients to-escape-notice
ἀφρώδης ἡ τοῦ σπέρματος οὖσα φύσις· τὴν γοῦν κυρίαν
foamy the of-the seed being nature the at-any-rate sovereign
θεὸν τῆς μίξεως ἀπὸ τῆς δυνάμεως ταύτης προσηγόρευσαν.
goddess of-the union from the power this they-named
Ἡ μὲν οὖν αἰτία τῆς λεχθείσης ἀπορίας εἴρηται, φανερὸν
The indeed then cause of-the said puzzle has-been-told evident
δὲ ὅτι διὰ τοῦτ᾽ οὐδὲ πήγνυται· ὁ γὰρ ἀὴρ ἄπηκτος.
and that because-of this not-even freezes the for air unfreezable

III · THE SOUL IN THE SEED

None of the semen becomes part of the fetus: its body dissolves into breath, as the fig juice setting milk does. The fetus has nutritive, perceptive, and rational soul in potential before in act; a power acting through a body cannot enter from outside, so only intellect, the divine, does. Soul shares a body diviner than the elements, the breath in the semen, like the stars' element; this, not fire, makes seed fertile. The female's residue has all parts in potential but not soul's principle, so wind-eggs never live.

Τούτου δ᾽ ἐχόμενόν ἐστιν ἀπορῆσαι καὶ εἰπεῖν, εἰ τῶν
Of-this and next it-is to-puzzle and to-say if of-the
προϊεμένων εἰς τὸ θῆλυ γονὴν μηθὲν μόριόν ἐστι τὸ εἰσελθὸν
emitting into the female semen no part is the having-entered
τοῦ γιγνομένου κυήματος, ποῦ τρέπεται τὸ σωματῶδες
of-the coming-to-be fetus where is-turned the bodily
αὐτοῦ, εἴπερ ἐργάζεται τῇ δυνάμει τῇ ἐνούσῃ ἐν αὐτῷ.
of-it if-indeed it-works by-the power the being-in in it

Διορίσαι τε δεῖ πότερον μεταλαμβάνει τὸ συνιστάμενον
To-determine both one-must whether takes-share the being-constituted
ἐν τῷ θήλει ἀπὸ τοῦ εἰσελθόντος τι ἢ οὐθέν, καὶ
in the female from the having-entered something or nothing and
περὶ ψυχῆς καθ' ἣν λέγεται ζῷον (ζῷον δ' ἐστὶ κατὰ τὸ
about soul by which is-called animal animal and is by the
μόριον τῆς ψυχῆς τὸ αἰσθητικόν) πότερον ἐνυπάρχει τῷ
part of-the soul the perceptive whether is-present-in in-the
σπέρματι καὶ τῷ κυήματι ἢ οὔ, καὶ πόθεν. Οὔτε γὰρ ὡς
seed and in-the fetus or not and whence Neither for as
ἄψυχον ἂν θείη τις τὸ κύημα κατὰ πάντα τρόπον
soulless — would-posit someone the fetus in every way
ἐστερημένον ζωῆς· οὐδὲν γὰρ ἧττον τά τε σπέρματα
deprived of-life nothing for less the both seeds
καὶ τὰ κυήματα τῶν ζῴων ζῇ τῶν φυτῶν, καὶ γόνιμα
and the fetuses of-the animals live than-the plants and fertile
μέχρι τινός ἐστιν. Ὅτι μὲν οὖν τὴν θρεπτικὴν ἔχουσι
up-to some-point are That indeed then the nutritive they-have
ψυχήν, φανερόν (δι' ὅτι δὲ ταύτην πρῶτον ἀναγκαῖόν
soul evident because-of what but this first necessary
ἐστι λαβεῖν, ἐκ τῶν περὶ ψυχῆς διωρισμένων ἐν ἄλλοις
it-is to-take from the about soul distinguished in other-works
φανερόν)· προϊόντα δὲ καὶ τὴν αἰσθητικήν, καθ' ἣν ζῷον.
evident going-on and also the perceptive by which animal
Οὐ γὰρ ἅμα γίνεται ζῷον καὶ ἄνθρωπος οὐδὲ ζῷον καὶ
Not for at-once becomes animal and man nor animal and
ἵππος, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ζῴων· ὕστερον
horse likewise and also in-the-case-of the other animals later
γὰρ γίνεται τὸ τέλος, τὸ δ' ἴδιόν ἐστι τὸ ἑκάστου
for comes-to-be the end the and peculiar is the of-each
τῆς γενέσεως τέλος. Διὸ καὶ περὶ νοῦ, πότε καὶ
of-the generation end Wherefore also about intellect when and

πῶς μεταλαμβάνει καὶ πόθεν τὰ μετέχοντα ταύτης τῆς
how take-share and whence the sharing of-this the
ἀρχῆς, ἔχει τ' ἀπορίαν πλείστην, καὶ δεῖ προθυμεῖσθαι
principle has both puzzle most and one-must to-be-eager
are-constituted just-as also the of-the birds and the-other the-same
πάντα συμβαίνει καὶ ἐντὸς καὶ ἐκτός. Ὥστε ἡ αὐτὴ
all happen both inside and outside So-that the same
θεωρία περὶ τῆς αἰτίας ἐστὶ πάντων. Ἀλλὰ τὰ μὲν τῶν
study about the cause is of-all But the indeed of-the
τετραπόδων δι' ἰσχὺν ἐκπέττεται καὶ ὑπὸ τῆς ὥρας,
quadrupeds through strength are-concocted also by the season
τὰ δὲ τῶν ὀρνέων ἐπικηρότερα, καὶ δεῖται τῆς τεκούσης.
the but of-the birds more-perishable and need the mother
Ἔοικε δὲ καὶ ἡ φύσις βούλεσθαι τὴν τῶν τέκνων αἴσθησιν
Seems and also the nature to-wish the of-the offspring perception

ἐπιμελητικὴν παρασκευάζειν· ἀλλὰ τοῖς μὲν χείροσι τοῦτ'
caring to-provide but in-the indeed worse this
ἐμποιεῖ μέχρι τοῦ τεκεῖν μόνον, τοῖς δὲ καὶ περὶ τὴν
it-implants up-to the to-bear only in-the but also about the
τελέωσιν, ὅσα δὲ φρονιμώτερα, καὶ περὶ τὴν ἐκτροφήν.
completion as-many-as but more-intelligent also about the rearing
Τοῖς δὲ δὴ μάλιστα κοινωνοῦσι φρονήσεως καὶ πρὸς
In-the and indeed most sharing in-intelligence also toward
τελεωθέντα γίνεται συνήθεια καὶ φιλία, καθάπερ τοῖς τε
the-completed comes-about familiarity and friendship just-as in-the both
ἀνθρώποις καὶ τῶν τετραπόδων ἐνίοις, τοῖς δ' ὄρνισι μέχρι
men and of-the quadrupeds some in-the but birds up-to
τοῦ γεννῆσαι καὶ ἐκθρέψαι· διόπερ καὶ μὴ ἐπῳάζουσαι αἱ
the to-generate and to-rear wherefore also not brooding the
θήλειαι, ὅταν τέκωσι, διατίθενται χεῖρον, ὥσπερ ἑνός τινος
females when they-lay are-disposed worse just-as of-one some
στερισκόμεναι τῶν συμφύτων. Τελεοῦται δ' ἐν τοῖς ᾠοῖς
being-deprived of-the congenital-things Are-completed and in the eggs
τὰ ζῷα θᾶττον ἐν ταῖς ἀλεεινᾶις ἡμέραις· συνεργάζεται
the animals quicker in the warm days works-with
γὰρ ἡ ὥρα. Καὶ γὰρ ἡ πέψις θερμότης τίς ἐστιν. Ἡ
for the season And for the concoction heat a-kind is The
τε γὰρ γῆ συμπέττει τῇ θερμότητι, καὶ ἡ ἐπῳάζουσα
both for earth concocts-with by-the heat and the brooding
ταὐτὸ τοῦτο δρᾷ· προσεγχεῖ γὰρ τὸ ἐν αὐτῇ θερμόν.
the-same this does pours-in for the in her hot
Καὶ διαφθείρεται δὲ τὰ ᾠὰ καὶ γίνεται τὰ καλούμενα
Also are-destroyed and the eggs and become the so-called
οὔρια μᾶλλον κατὰ τὴν θερμὴν ὥραν εὐλόγως· ὥσπερ
wind-spoiled more in the hot season reasonably just-as
γὰρ καὶ οἱ οἶνοι ἐν ταῖς ἀλέαις ὀξύνονται ἀνατρεπομένης
for also the wines in the heats turn-sour being-stirred-up

τῆς ἰλύος (τοῦτο γὰρ αἴτιον τῆς διαφθορᾶς), καὶ ἐν τοῖς
the lees this for cause of-the destruction also in the
ᾠοῖς ἡ λέκιθος· τοῦτο γὰρ ἐν ἀμφοτέροις τὸ γεῶδες.
eggs the yolk this for in both the earthy
Διὸ καὶ ἀναθολοῦται ὁ οἶνος μιγνυμένης τῆς ἰλύος,
Wherefore also is-made-turbid the wine being-mixed the lees
καὶ τὰ διαφθειρόμενα ᾠὰ τῆς λεκίθου. Τοῖς μὲν οὖν
and the being-destroyed eggs the yolk For-the indeed then
πολυτόκοις συμβαίνει τὸ τοιοῦτον εὐλόγως (οὐ γὰρ ῥᾴδιον
prolific happens the such reasonably not for easy
τὴν ἁρμόττουσαν πᾶσιν ἀποδιδόναι θερμασίαν, ἀλλὰ τοῖς
the fitting to-all to-render heat but for-the
μὲν ἐλλείπειν τοῖς δὲ πλεονάζειν, καὶ ἀναθολοῦν οἷον
indeed to-fall-short for-the and to-exceed and to-make-turbid as
σήπουσαν), τοῖς δὲ γαμψώνυξιν ὀλιγοτόκοις οὖσιν οὐδὲν
rotting in-the but crook-taloned few-bearing being nothing
ἧττον συμβαίνει τοῦτο· πολλάκις μὲν γὰρ καὶ τοῖν δυοῖν
less happens this often indeed for also of-the two
θάτερον οὔριον γίνεται, τὸ δὲ τρίτον ὡς εἰπεῖν ἀεί· θερμὰ
one-of-the-two wind-spoiled becomes the but third as to-say always hot
γὰρ ὄντα τὴν φύσιν οἷον ὑπερζεῖν ποιεῖ τὴν ὑγρότητα
for being in-the nature as-it-were to-boil-over makes the moisture
τὴν ἐν τοῖς ᾠοῖς. Ἔχει γὰρ δὴ καὶ τὴν φύσιν ἐναντίαν
the in the eggs Has for indeed also the nature opposite
τό τε ὠχρὸν καὶ τὸ λευκόν. Τὸ μὲν γὰρ ὠχρὸν ἐν τοῖς
the both yellow and the white The indeed for yellow in the
πάγοις πήγνυται, θερμαινόμενον δὲ ὑγραίνεται· διὸ καὶ
frosts sets being-heated but is-liquefied wherefore also
συμπεττόμενον ἐν τῇ γῇ ἢ ὑπὸ τοῦ ἐπῳάζειν ὑγραίνεται,
being-concocted in the earth or by the brooding is-liquefied
καὶ τοιοῦτον ὂν γίνεται τροφὴ τοῖς συνισταμένοις
and such being becomes nourishment for-the being-constituted

ζῴοις. Πυρούμενον δὲ καὶ ὀπτώμενον οὐ γίνεται σκληρὸν
animals Being-burned but and being-roasted not becomes hard
διὰ τὸ εἶναι τὴν φύσιν γεώδες οὕτως ὥσπερ κηρός·
because-of the to-be in-the nature earthy so just-as wax
καὶ διὰ τοῦτο θερμαινόμενα μᾶλλον, ἐὰν ᾖ μὴ ἐξ
and because-of this being-heated more if it-be not from
ὑγροῦ περιττώματος, διοροῦται καὶ γίνεται οὔρια.
moist residue becomes-watery and becomes wind-spoiled
Τὸ δὲ λευκὸν ὑπὸ μὲν τῶν πάγων οὐ πήγνυται, ἀλλ'
The but white by indeed the frosts not sets but
ὑγραίνεται μᾶλλον (τὸ δ' αἴτιον εἴρηται πρότερον),
is-liquefied rather the and cause has-been-said before
πυρούμενον δὲ γίνεται στερεόν· διὸ καὶ πεττόμενον
being-burned but becomes solid wherefore also being-concocted
περὶ τὴν γένεσιν τῶν ζῴων παχύνεται. Ἐκ τούτου γὰρ
about the generation of-the animals is-thickened From this for
συνίσταται τὸ ζῷον, τὸ δ' ὠχρὸν τροφὴ γίνεται, καὶ τοῖς
is-constituted the animal the but yellow nourishment becomes also for-the
ἀεὶ συνισταμένοις τῶν μορίων ἐντεῦθεν ἡ αὔξησις. Διὸ
always being-constituted of-the parts from-there the growth Wherefore
καὶ διώρισται τό τε ὠχρὸν καὶ τὸ λευκὸν χωρὶς ὑμέσιν
also are-separated the both yellow and the white apart by-membranes
ὡς ἔχοντα τὴν φύσιν ἑτέραν. Δι' ἀκριβείας μὲν οὖν,
as having the nature different Through exactness indeed then
ὃν τρόπον ἔχουσι ταῦτα πρὸς ἄλληλα κατ' ἀρχάς
in-what way have these to one-another at beginnings
τε τῆς γενέσεως καὶ συνισταμένων τῶν ζῴων, ἔτι δὲ
both of-the generation and being-constituted the animals further and
περί τε ὑμένων καὶ ὀμφαλῶν, ἐκ τῶν ἐν ταῖς ἱστορίαις
about both membranes and navels from the in the inquiries
γεγραμμένων δεῖ θεωρεῖν· πρὸς δὲ τὴν παροῦσαν
written one-must to-study for and the present

σκέψιν ἱκανὸν φανερὸν εἶναι τοσοῦτον, ὅτι συστάσης
inquiry sufficient evident to-be so-much that being-constituted
πρώτης τῆς καρδίας, καὶ τῆς μεγάλης φλεβὸς ἀπὸ ταύτης
first the heart and the great vein from this
ἀφορισθείσης, δύο ὀμφαλοὶ ἀπὸ τῆς φλεβὸς τείνουσιν,
being-marked-off two navels from the vein stretch
ὁ μὲν εἰς τὸν ὑμένα τὸν περιέχοντα τὸ ὠχρόν, ὁ δ'
the indeed to the membrane the surrounding the yellow the and
ἕτερος εἰς τὸν ὑμένα τὸν χοροειδῆ, ὃς κύκλῳ περιέχει τὸ
other to the membrane the chorion-like which in-circle surrounds the
ζῷον· ἔστι δ' οὗτος περὶ τὸν ὑμένα τὸν τοῦ ὀστράκου.
animal is and this about the membrane the of-the shell
Διὰ μὲν οὖν θατέρου λαμβάνει τὴν ἐκ τοῦ ὠχροῦ
Through indeed then the-one it-takes the from the yellow
τροφήν, τὸ δ' ὠχρὸν γίνεται πλέον· ὑγρότερον γὰρ γίνεται
nourishment the and yellow becomes more moister for becomes
θερμαινόμενον. Δεῖ γὰρ τὴν τροφὴν σωματώδη οὖσαν
being-heated It-must for the nourishment bodily being
ὑγρὰν εἶναι καθάπερ τοῖς φυτοῖς, ζῇ δὲ τὸ πρῶτον καὶ τὰ
moist to-be just-as for-the plants lives and the first also the
ἐν τοῖς ᾠοῖς γιγνόμενα καὶ τὰ ἐν τοῖς ζῴοις φυτοῦ βίον· τῷ
in the eggs coming-to-be and the in the animals of-plant life by-the
πεφυκέναι γὰρ ἔκ τινος λαμβάνει τὴν πρώτην αὔξησιν καὶ
to-be-attached for from something it-takes the first growth and
τροφήν. Ὁ δ' ἕτερος ὀμφαλὸς τείνει εἰς τὸ περιέχον χόριον.
nourishment The and other navel stretches to the surrounding chorion
Δεῖ γὰρ ὑπολαβεῖν τὰ ᾠοτοκούμενα τῶν ζῴων πρὸς μὲν
One-must for to-suppose the egg-born of-the animals toward indeed
τὸ ὠχρὸν οὕτως ἔχειν τὸν νεοττὸν ὥσπερ πρὸς τὴν μητέρα
the yellow so to-be the chick just-as toward the mother
τὰ ζῳοτοκούμενα ἔμβρυα, ὅταν ἐν τῇ μητρὶ ᾖ (ἐπεὶ
the born-live embryos when in the mother it-be since

γὰρ οὐκ ἐκτρέφονταί γε ἐν τῇ μητρὶ τὰ ᾠοτοκούμενα,
for not are-reared at-least in the mother the egg-born
ἐκλαμβάνει τι μέρος αὐτῆς), πρὸς δὲ τὸν ἐξωτάτω ὑμένα
it-takes some part of-her toward and the outermost membrane
τὸν αἱματώδη ὡς πρὸς τὴν ὑστέραν. Ἅμα δὲ περί τε τὸ
the blood-like as toward the uterus At-once and about both the
ὠχρὸν καὶ τὸ χόριον τὸ ἀνάλογον τῇ ὑστέρᾳ τὸ ὄστρακον
yellow and the chorion the analogous to-the uterus the shell
τοῦ ᾠοῦ περιπέφυκεν, ὥσπερ ἂν εἴ τις περιθείη
of-the egg has-grown-round just-as — if someone should-put-around
περί τε τὸ ἔμβρυον αὐτὸ καὶ περὶ τὴν μητέρα ὅλην.
about both the embryo itself and about the mother whole
Ἔχει δ' οὕτως, διότι δεῖ τὸ ἔμβρυον ἐν τῇ ὑστέρᾳ
It-is and so because it-must the embryo in the uterus
εἶναι καὶ πρὸς τῇ μητρί. Ἐν μὲν οὖν τοῖς ζῳοτοκουμένοις
to-be and at the mother In indeed then the born-live
ἡ ὑστέρα ἐν τῇ μητρί ἐστιν, ἐν δὲ τοῖς ᾠοτοκουμένοις
the uterus in the mother is in but the egg-born
ἀνάπαλιν, ὥσπερ ἂν εἴ τις εἴποι τὴν μητέρα ἐν τῇ
the-reverse just-as — if someone should-say the mother in the
ὑστέρᾳ εἶναι· τὸ γὰρ ἀπὸ τῆς μητρὸς γινόμενον ἡ τροφὴ
uterus to-be the for from the mother coming the nourishment
τὸ ὠχρόν ἐστιν. Αἴτιον δ' ὅτι ἡ ἐκτροφὴ οὐκ ἐν τῇ μητρί
the yellow is Cause and that the rearing not in the mother
ἐστιν. Αὐξανομένων δὲ πρότερον ὁ ὀμφαλὸς συμπίπτει
is Growing and earlier the navel collapses
ὁ πρὸς τὸ χόριον, διότι ταύτῃ δεῖ τὸ ζῷον ἐξελθεῖν, τὸ
the toward the chorion because there must the animal to-come-out the
δὲ λοιπὸν τοῦ ὠχροῦ καὶ ὁ ὀμφαλὸς ὁ εἰς τὸ ὠχρὸν
and rest of-the yellow and the navel the into the yellow
ὕστερον. Δεῖ γὰρ ἔχειν τροφὴν εὐθὺς τὸ γενόμενον· οὔτε
later It-must for to-have nourishment at-once the having-come-to-be neither

γὰρ ἀπὸ τῆς μητρὸς τιτθεύεται, δι' αὑτοῦ τε οὐκ εὐθὺς
for from the mother is-suckled through itself and not at-once
δύναται πορίζεσθαι τὴν τροφήν· διόπερ ἐντὸς εἰσέρχεται
it-can to-procure the nourishment wherefore inside goes
τὸ ὠχρὸν μετὰ τοῦ ὀμφαλοῦ, καὶ περιφύεται ἡ σάρξ. Τὰ
the yellow with the navel and grows-round the flesh The
μὲν οὖν ἐκ τῶν τελείων ᾠῶν γινόμενα θύραζε τοῦτον
indeed then from the complete eggs coming-to-be outside this
γίγνεται τὸν τρόπον ἐπί τε τῶν ὀρνίθων καὶ τῶν
come-to-be the way in-the-case-of both the birds and the
τετραπόδων, ὅσα ᾠοτοκεῖ τὸ ᾠὸν τὸ σκληρόδερμον.
quadrupeds as-many-as lay the egg the hard-shelled
Διάδηλα δὲ ταῦτα μᾶλλον ἐπὶ τῶν μειζόνων· ἐν γὰρ
Plain and these more in-the-case-of the larger in for
τοῖς ἐλάττοσιν ἀφανῆ διὰ μικρότητα τῶν ὄγκων ἐστίν.
the smaller invisible because-of smallness of-the bulks it-is

III · THE EGGS OF FISH

Fish lay eggs too. Those with the uterus low lay incomplete ones; selachians lay a complete egg within and bear live, save the fishing-frog, whose spiny head makes it lay a firm egg outside, the others' being soft. Lacking a shell, selachians lack the second navel to the chorion; the young form at the egg's tip, away from its attachment, the one-colored egg feeding from either end, and, as in the smooth dogfish, keep a navel to the uterus once the egg is spent.

Ἔτι δ' ἐστὶν ᾠοτόκον τὸ τῶν ἰχθύων γένος. Τούτων δὲ
Further and is egg-laying the of-the fish kind Of-these and
τὰ μὲν ἔχοντα κάτω τὴν ὑστέραν ἀτελὲς ᾠὸν τίκτει διὰ
the-ones indeed having below the uterus incomplete egg bear because-of
τὴν πρότερον εἰρημένην αἰτίαν, τὰ δὲ καλούμενα σελάχη τῶν
the before said cause the but so-called selachians of-the

ἰχθύων ἐν αὑτοῖς μὲν ᾠοτοκεῖ τέλειον ᾠὸν ἔξω δὲ ζῳοτοκεῖ,
fish in themselves indeed lay complete egg outside but bear-live
πλὴν ἑνὸς ὃν καλοῦσι βάτραχον· οὗτος δ' ᾠοτοκεῖ θύραζε
except one which they-call fishing-frog this and lays outside
τέλειον ᾠὸν μόνος. Αἰτία δ' ἡ τοῦ σώματος φύσις· τήν
complete egg alone Cause and the of-the body nature the
τε γὰρ κεφαλὴν πολλαπλασίαν ἔχει τοῦ λοιποῦ σώματος,
both for head many-times has than-the rest body
καὶ ταύτην ἀκανθώδη καὶ σφόδρα τραχεῖαν. Διόπερ οὐδ'
and this spiny and very rough Wherefore neither
ὕστερον εἰσδέχεται τοὺς νεοττούς, οὐδ' ἐξ ἀρχῆς ζῳοτοκεῖ·
later receives the young nor from the-beginning bears-live
τὸ γὰρ μέγεθος καὶ ἡ τραχύτης τῆς κεφαλῆς ὥσπερ καὶ
the for size and the roughness of-the head just-as also
εἰσελθεῖν κωλύει, οὕτω καὶ ἐξελθεῖν. Ἐπεὶ δὲ μαλακόδερμόν
to-enter prevents so also to-come-out Since and soft-shelled
ἐστι τὸ ᾠὸν τὸ τῶν σελαχῶν (οὐ γὰρ δύνανται σκληρύνειν
is the egg the of-the selachians not for they-can to-harden
τὸ πέριξ· ψυχρότεροι γὰρ τῶν ὀρνίθων εἰσίν), τὸ τῶν
the around colder for than-the birds they-are the of-the
βατράχων ᾠὸν μόνον στερεόν ἐστι καὶ στιφρὸν πρὸς τὴν
fishing-frogs egg alone solid is and firm for the
ἔξω σωτηρίαν, τὰ δὲ τῶν ἄλλων ὑγρὰ καὶ μαλακὰ τὴν
outside preservation the but of-the others moist and soft in-the
φύσιν· σκεπάζεται γὰρ ἐντὸς τῷ σώματι τῷ τῆς ἐχούσης.
nature is-covered for inside by-the body the of-the bearing
Ἡ δὲ γένεσις ἐκ τοῦ ᾠοῦ τοῖς τε βατράχοις ἔξω
The and generation from the egg for-the both fishing-frogs outside
τελειουμένοις καὶ τοῖς ἐντὸς ἡ αὐτή, τούτοις δὲ καὶ τοῖς
being-completed and for-the inside the same for-these but and for-the
τῶν ὀρνίθων τῇ μὲν ὁμοία τῇ δὲ διάφορός ἐστιν.
of-the birds in-one-way indeed similar in-another and different is

Πρῶτον μὲν γὰρ οὐκ ἔχουσι τὸν ἕτερον ὀμφαλὸν τὸν εἰς
First indeed for not have the other navel the to
τὸ χόριον τείνοντα, ὅ ἐστιν ὑπὸ τὸ περιέχον ὄστρακον.
the chorion extending which is under the surrounding shell
Τούτου δ' αἴτιον ὅτι τὸ πέριξ ὄστρακον οὐκ ἔχουσιν.
Of-this and cause that the around shell not they-have
Οὐδὲν γὰρ αὐτοῖς χρήσιμον· σκεπάζει γὰρ ἡ μήτηρ, τὸ δ'
Nothing for for-them useful covers for the mother the and
ὄστρακόν ἐστι τοῖς ἐκτικτομένοις ᾠοῖς ἀλεώρα πρὸς τὰς
shell is for-the being-laid eggs shelter against the
θύραθεν βλάβας. Ἔπειθ' ἡ γένεσις ἐξ ἄκρου μέν ἐστι
outside harms Then the generation from tip indeed is
τοῦ ᾠοῦ καὶ τούτοις, ἀλλ' οὐχ ᾗ προσπέφυκε πρὸς τὴν
of-the egg also for-these but not where it-is-attached to the
ὑστέραν· οἱ γὰρ ὄρνιθες ἐκ τοῦ ὀξέος γίνονται, ταύτῃ δ' ἦν
uterus the for birds from the sharp-end come-to-be there and was
ἡ τοῦ ᾠοῦ πρόσφυσις. Αἴτιον δ' ὅτι τὸ μὲν τῶν ὀρνίθων
the of-the egg attachment Cause and that the indeed of-the birds
χωρίζεται τῆς ὑστέρας, τῶν δὲ τοιούτων οὐ πάντων ἀλλὰ
is-separated from-the uterus of-the and such not of-all but
τῶν πλείστων πρὸς τῇ ὑστέρᾳ προσπέφυκε τὸ ᾠὸν τέλειον.
of-the most to the uterus is-attached the egg complete
Ἐπ' ἄκρῳ δὲ γιγνομένου τοῦ ζῴου καταναλίσκεται τὸ
At tip and coming-to-be the animal is-used-up the
ᾠόν, ὥσπερ καὶ ἐπὶ τῶν ὀρνίθων καὶ τῶν ἄλλων
egg just-as also in-the-case-of the birds and the others
τῶν ἀπολελυμένων, καὶ τέλος πρὸς τῇ ὑστέρᾳ ὁ ὀμφαλὸς
the loosed and finally to the uterus the navel
προσπέφυκε τῶν ἤδη τελείων. Ὁμοίως δ' ἔχει καὶ ὅσων
is-attached of-the already complete Likewise and it-is also as-many-as
ἀπολέλυται τὰ ᾠὰ τῆς ὑστέρας· ἐνίοις γὰρ αὐτῶν, ὅταν
are-loosed the eggs from-the uterus in-some for of-them when

τέλειον γένηται τὸ ᾠόν, ἀπολύεται. Ἀπορήσειεν ἂν οὖν
complete become the egg it-is-loosed Would-be-puzzled — then
τις διὰ τί διαφέρουσιν αἱ γενέσεις τοῖς ὄρνισι κατὰ
someone because-of what differ the generations for-the birds in
τοῦτο καὶ τοῖς ἰχθύσιν. Αἴτιον δ' ὅτι τὰ μὲν τῶν ὀρνίθων
this and for-the fish Cause and that the indeed of-the birds
κεχωρισμένον ἔχει τὸ λευκὸν καὶ τὸ ὠχρόν, τὰ δὲ τῶν
separated has the white and the yellow the but of-the
ἰχθύων μονόχροα, καὶ πάντῃ μεμιγμένον τὸ τοιοῦτον, ὥστ'
fish one-colored and everywhere mixed the such so-that
οὐθὲν κωλύει ἐξ ἐναντίας ἔχειν τὴν ἀρχήν· οὐ γὰρ μόνον
nothing prevents from opposite to-have the principle not for only
κατὰ τὴν πρόσφυσίν ἐστι τοιοῦτον ἀλλὰ καὶ καταντικρύ,
at the attachment is such but also opposite
τὴν δὲ τροφὴν ῥᾷον ἕλκειν ἐκ τῆς ὑστέρας πόροις
the and nourishment easier to-draw from the uterus by-ducts
τισὶν ἀπὸ ταύτης τῆς ἀρχῆς. Δῆλον δ' ἐπὶ τῶν
some from this the principle Clear and in-the-case-of the
μὴ ἀπολυομένων ᾠῶν· ἐν ἐνίοις γὰρ τῶν σελαχῶν οὐκ
not loosed eggs in some for of-the selachians not
ἀπολύεται τῆς ὑστέρας τὸ ᾠόν, ἀλλ' ἐχόμενον μεταχωρεῖ
is-loosed from-the uterus the egg but held moves
κάτω πρὸς τὴν ζωοτοκίαν, ἐν οἷς τελεωθὲν τὸ ζῷον ἔχει
down toward the live-bearing in which completed the animal has
τὸν ὀμφαλὸν ἐκ τῆς ὑστέρας ἀνηλωμένου τοῦ ᾠοῦ.
the navel from the uterus used-up the egg
Φανερὸν οὖν ὅτι καὶ πρότερον ἔτεινον οἱ πόροι τοῦ
Evident then that also before stretched the ducts of-the
ᾠοῦ ἔτι ὄντος περὶ ἐκεῖνο πρὸς τὴν ὑστέραν. Τοῦτο δὲ
egg still being about that to the uterus This and
συμβαίνει, καθάπερ εἴπομεν, ἐν τοῖς γαλεοῖς τοῖς λείοις.
happens just-as we-said in the dogfish the smooth

Διαφέρει μὲν οὖν ἡ γένεσις κατὰ ταῦτα τῶν ἰχθύων
Differs indeed then the generation in these of-the fish
τοῖς ὄρνισι, καὶ διὰ τὰς εἰρημένας αἰτίας· τὰ δ'
from-the birds and because-of the said causes the but
ἄλλα συμβαίνει τὸν αὐτὸν τρόπον. Τόν τε γὰρ ὀμφαλὸν
other-things happen the same way The both for navel
ἔχουσι τὸν ἕτερον ὡσαύτως ὥσπερ οἱ ὄρνιθες πρὸς τὸ
they-have the other likewise just-as the birds to the
ὠχρόν, οὕτως οἱ ἰχθύες πρὸς τὸ ὅλον ᾠόν (οὐ γάρ ἐστιν
yellow so the fish to the whole egg not for is
αὐτοῦ τὸ μὲν λευκὸν τὸ δ' ὠχρόν, ἀλλὰ μονόχρων
of-it the indeed white the but yellow but one-colored
πᾶν), καὶ τρέφονται ἐκ τούτου, καταναλισκομένου τε
all and they-are-nourished from this being-used-up and
ἐπέρχεται καὶ περιφύεται ἡ σὰρξ ὁμοίως.
comes-on and grows-round the flesh likewise

IV · EGGS THAT GROW OUTSIDE

Most other fish lay incomplete eggs outside, which grow quickly from small, as leaven does, the solid moistened and the moist turned to breath by the soul's heat. They lay so because of their many young, for the uterus could not hold the growth of all, and many eggs perish outside, nature matching destruction by numbers. Some, such as the pipefish, burst from the size of their eggs, nature having given them size instead of number.

Περὶ μὲν οὖν τῶν ἐν αὑτοῖς μὲν ᾠοτοκούντων τέλειον ᾠὸν
About indeed then the in themselves indeed laying-eggs complete egg
θύραζε δὲ ζῳοτοκούντων τοῦτον ἔχει τὸν τρόπον ἡ γένεσις,
outside but bearing-live this has the way the generation
οἱ δὲ πλεῖστοι τῶν ἄλλων ἰχθύων ἐκτὸς ᾠοτοκοῦσιν,
the and most of-the other fish outside lay-eggs

ἀτελὲς δ᾽ ᾠὸν πάντες πλὴν βατράχου· περὶ δὲ τούτου τὸ
incomplete but egg all except fishing-frog about and this the
αἴτιον εἴρηται πρότερον. Εἴρηται δὲ καὶ περὶ τῶν ἀτελῆ
cause has-been-said before Has-been-said and also about the incomplete
τικτόντων τὸ αἴτιον. Ἡ δὲ γένεσις καὶ τούτων ἡ μὲν
bearing the cause The and generation also of-these the-one indeed
ἐκ τοῦ ᾠοῦ τὸν αὐτὸν ἔχει τρόπον ὅνπερ καὶ τῶν σελαχῶν
from the egg the same has way which-very also of-the selachians
τῶν ἐντὸς ᾠοτοκούντων, πλὴν ἥ γ᾽ αὔξησις ταχεῖα καὶ
of-the inside laying-eggs except the at-least growth quick and
ἐκ μικρῶν, καὶ τὸ ἔσχατον τοῦ ᾠοῦ σκληρότερον. Ἡ δὲ
from small and the outermost of-the egg harder The and
τοῦ ᾠοῦ αὔξησις ὁμοία τοῖς σκώληξίν ἐστιν· καὶ γὰρ τὰ
of-the egg growth like to-the larvae is and for the
σκωληκοτοκοῦντα τῶν ζῴων μικρὸν ἀποτίκτει τὸ πρῶτον,
larva-bearing of-the animals small lay the first
τοῦτο δ᾽ αὐξάνεται δι᾽ αὑτοῦ καὶ οὐ διὰ πρόσφυσιν
this and grows through itself and not because-of attachment
οὐδεμίαν. Τὸ δ᾽ αἴτιον παραπλήσιον ὅπερ ἐπὶ τῆς
any The and cause similar which-very in-the-case-of the
ζύμης· καὶ γὰρ ἡ ζύμη ἐκ μικρᾶς μεγάλη γίνεται τοῦ μὲν
leaven and for the leaven from small great becomes the indeed
στερεωτέρου ὑγραινομένου, τοῦ δ᾽ ὑγροῦ πνευματουμένου.
more-solid being-liquefied the but moist becoming-breath
Δημιουργεῖ δὲ τοῦτο ἡ τοῦ ψυχικοῦ θερμοῦ φύσις ἐν τοῖς
Fashions and this the of-the soul hot nature in the
ζῴοις, ἐν δὲ ταῖς ζύμαις ἡ τοῦ χυμοῦ τοῦ συγκραθέντος
animals in and the leavens the of-the juice the mixed
θερμότης. Αὐξάνεται μὲν οὖν τὰ ᾠὰ ἐξ ἀνάγκης μὲν
heat Grow indeed then the eggs from necessity indeed
διὰ ταύτην τὴν αἰτίαν (ἔχει γὰρ περίττωμα ζυμῶδες),
because-of this the cause it-has for residue leaven-like

χάριν δὲ τοῦ βελτίονος· ἐν ταῖς ὑστέραις γὰρ ἀδύνατον
for-the-sake and of-the better in the uteri for impossible
αὐτοῖς λαμβάνειν ὅλην τὴν αὔξησιν διὰ τὴν τῶν ζῴων
for-them to-take whole the growth because-of the of-the animals
πολυτοκίαν τούτων. Διὰ τοῦτο γὰρ καὶ μικρὰ πάμπαν
prolificness of-these Because-of this for also small altogether
ἀποκρίνεται καὶ ταχεῖαν λαμβάνει τὴν αὔξησιν, μικρὰ μὲν
are-secreted and quick take the growth small indeed
διὰ τὸ στενοχωρῆ τὴν ὑστέραν εἶναι πρὸς τὸ πλῆθος τῶν
because-of the narrow the uterus to-be for the quantity of-the
ᾠῶν, ταχὺ δ' ὅπως μὴ χρονιζόντων ἐν τῇ γενέσει περὶ τὴν
eggs quick but so-that not delaying in the generation about the
αὔξησιν φθείρηται τὸ γένος, ἐπεὶ καὶ νῦν τὰ πολλὰ φθείρεται
growth be-destroyed the kind since even now the many are-destroyed
τῶν ἐκτικτομένων κυημάτων· διόπερ πολύγονόν ἐστι τὸ
of-the being-laid fetuses wherefore prolific is the
γένος τὸ τῶν ἰχθύων· ἀναμάχεται γὰρ ἡ φύσις τῷ πλήθει
kind the of-the fish fights-back for the nature by-the quantity
τὴν φθοράν. Εἰσὶ δέ τινες οἳ διαρρήγνυνται τῶν ἰχθύων,
the destruction There-are and some who burst of-the fish
οἷον ἡ καλουμένη βελόνη, διὰ τὸ μέγεθος τῶν ᾠῶν αὕτη
such-as the so-called pipefish because-of the size of-the eggs this
γὰρ ἀντὶ τοῦ πολλὰ μεγάλα τὰ κυήματα ἴσχει· τοῦ γὰρ
for instead-of the many large the fetuses has of-the for
πλήθους ἡ φύσις ἀφελοῦσα προσέθηκε πρὸς τὸ μέγεθος.
quantity the nature having-taken-away added to the size

The selachians, laying eggs within before bearing live, show that fish lay eggs. Some say all fish but the selachians are female, misled by their many eggs, yet males have milt organs and females uteri in all but the erythrinus and channa, as the long-coupling cephalopods and crustaceans show. Females lay little by little and males sprinkle the eggs; quick coupling misleads fishermen into saying females swallow the milt, though the mouth leads to the belly, not the uterus.

Ὅτι μὲν οὖν αὐξάνεταί τε καὶ δι᾽ ἣν αἰτίαν τὰ
That indeed then grow both and because-of which cause the
τοιαῦτα τῶν ᾠῶν, εἴρηται· ὅτι δ᾽ ᾠοτοκοῦσι καὶ οὗτοι
such of-the eggs it-has-been-said that but lay-eggs also these
οἱ ἰχθύες, σημεῖον τὸ καὶ τοὺς ζωοτοκοῦντας τῶν ἰχθύων,
the fish sign the also the live-bearing of-the fish
οἷον τὰ σελάχη, ᾠοτοκεῖν ἐν αὑτοῖς πρῶτον. Δῆλον γὰρ
such-as the selachians to-lay-eggs in themselves first Clear for
ὅτι τὸ γένος ὅλον ἐστὶν ᾠοτόκον τὸ τῶν ἰχθύων, τέλος
that the kind whole is egg-laying the of-the fish end
μέντοι οὐθὲν λαμβάνει τῶν τοιούτων ᾠῶν, ὅσων ἐστὶ
however none takes of-the such eggs of-as-many-as is
τὸ μὲν θῆλυ τὸ δ᾽ ἄρρεν καὶ γίγνονται ἐξ ὀχείας, ἐὰν
the indeed female the and male and they-come-to-be from copulation if
μὴ ἐπιρράνῃ ὁ ἄρρην τὸν θορόν. Εἰσὶ δέ τινες οἵ φασι
not sprinkle the male the milt There-are and some who say
πάντας εἶναι τοὺς ἰχθῦς θήλεις ἔξω τῶν σελαχῶν, οὐκ
all to-be the fish females except the selachians not
ὀρθῶς λέγοντες. Οἴονται γὰρ διαφέρειν τῶν νομιζομένων
correctly speaking They-think for to-differ from-the reputed
ἀρρένων τοὺς θήλεις αὐτῶν ὥσπερ τῶν φυτῶν, ἐν ὅσοις
males the females of-them just-as of-the plants in as-many-as
τὸ μὲν καρποφορεῖ τὸ δ᾽ ἄκαρπόν ἐστιν, οἷον ἐλάα
the-one indeed bears-fruit the-other and fruitless is such-as olive

καὶ κότινος καὶ συκῆ καὶ ἐρινεός. Ὁμοίως δὲ καὶ τοὺς
and wild-olive and fig and wild-fig Likewise and also the
ἰχθῦς πλὴν τῶν σελαχῶν· τούτοις γὰρ οὐκ ἀμφισβητοῦσιν.
fish except the selachians about-these for not they-dispute
Καίτοι ὡσαύτως τε διάκεινται οἱ ἄρρενες περὶ τὰ θορικὰ
And-yet likewise both are-disposed the males about the milt-organs
οἵ τε σελαχώδεις καὶ οἱ ἐν τῷ γένει τῷ τῶν ᾠοτόκων,
the both selachian and the in the kind the of-the egg-laying
καὶ σπέρμα κατὰ τὴν ὥραν φαίνεται ἀμφοῖν ἐκθλιβόμενον.
and seed at the season appears of-both being-squeezed-out
Ἔχουσι δὲ καὶ ὑστέρας αἱ θήλειαι. Ἔδει δ' οὐ
Have and also uteri the females It-would-be-needful but not
μόνον τοὺς ᾠοτοκοῦντας ἀλλὰ καὶ τοὺς ἄλλους ἔχειν μέν,
only the egg-laying but also the others to-have indeed
ἀλλὰ διαφερούσας τῶν ᾠοτοκούντων, ὥσπερ αἱ ἡμίονοι
but differing from-the egg-laying just-as the she-mules
ἐν τῷ γένει τῶν λοφούρων, εἴπερ ἦν θῆλυ τὸ γένος πᾶν,
in the kind of-the bushy-tailed if-indeed were female the kind all
ἀλλ' ἄτεκνοί τινες αὐτῶν. Νῦν δ' οἱ μὲν ἔχουσι θορικὰ
but childless some of-them Now but the-ones indeed have milt-organs
οἱ δ' ὑστέρας, καὶ ἐν ἅπασιν ἔξω δυοῖν, ἐρυθρίνου καὶ
the-others and uteri and in all except two erythrinus and
χάννης, αὕτη ἐστὶν ἡ διαφορά· οἱ μὲν γὰρ θορικὰ
channa this is the difference the-ones indeed for milt-organs
ἔχουσιν, οἱ δ' ὑστέρας. Ἡ δ' ἀπορία δι' ἣν
have the-others and uteri The and puzzle because-of which
οὕτως ὑπολαμβάνουσιν, εὔλυτος τὸ συμβαῖνον ἀκούσασιν.
so they-suppose easily-solved the happening to-those-having-heard
Οὐθὲν γὰρ τῶν ὀχευομένων πολλά φασι τίκτειν, λέγοντες
Nothing for of-the copulating many they-say to-bear saying
ὀρθῶς· ὅσα γὰρ ἐξ αὑτῶν γεννᾷ τέλεια ἢ ζῷα
correctly as-many-as for from themselves generate complete either animals

ἢ ᾠά, οὐ πολυτοκεῖ οὕτως ὥσπερ οἱ ᾠοτοκοῦντες τῶν
or eggs not are-prolific so just-as the egg-laying of-the
ἰχθύων· ἄπλετον γάρ τι τούτων πλῆθος τῶν ᾠῶν ἐστίν.
fish immense for some of-these quantity of-the eggs is
Ἀλλὰ τοῦτο οὐχὶ συνεωράκεσαν, ὅτι οὐχ ὁμοιοτρόπως
But this not they-had-observed that not similarly
τοῖς τῶν ὀρνίθων ἔχει τὰ περὶ τὰ ᾠὰ τῶν ἰχθύων.
to-the of-the birds have the about the eggs of-the fish
Οἱ μὲν γὰρ ὄρνιθες καὶ τῶν τετραπόδων ὅσα ᾠοτοκεῖ,
The indeed for birds and of-the quadrupeds as-many-as lay-eggs
καὶ εἴ τινα τῶν σελαχωδῶν, τέλειον ᾠὸν γεννῶσι, καὶ
and if any of-the selachians complete egg generate and
οὐ λαμβάνει ἐξελθὸν αὔξησιν· οἱ δ' ἰχθύες ἀτελῆ, καὶ
not takes having-come-out growth the but fish incomplete and
λαμβάνει θύραζε τὰ ᾠὰ τὴν αὔξησιν. Ἔτι καὶ ἐπὶ
take outside the eggs the growth Further also in-the-case-of
τῶν μαλακίων τὸν αὐτὸν ἔχει τρόπον καὶ ἐπὶ τῶν
the cephalopods the same it-has way and in-the-case-of the
μαλακοστράκων, ἃ καὶ συνδυαζόμενα ὁρᾶται διὰ τὸ
crustaceans which also coupling are-seen because-of the
χρόνιον εἶναι τὸν συνδυασμὸν αὐτῶν· καὶ τούτων φανερόν
long to-be the coupling of-them and of-these evident
ἐστι τὸ μὲν ἄρρεν ὄν, τὸ δ' ἔχον ὑστέραν. Ἄτοπον δὲ
is the-one indeed male being the-other and having uterus Strange and
καὶ τὸ μὴ ἐν παντὶ γένει ταύτην εἶναι τὴν δύναμιν, ὥσπερ
also the not in every kind this to-be the power just-as
ἐν τοῖς ζωοτόκοις τὸ μὲν ἄρρεν τὸ δὲ θῆλυ. Αἴτιον δὲ
in the live-bearing the-one indeed male the-other and female Cause and
τοῖς ἐκείνως λέγουσι τῆς ἀγνοίας τὸ τὰς διαφορὰς μὴ δήλας
for-those so saying of-the ignorance the the differences not clear
εἶναι παντοδαπὰς οὔσας περί τε τὰς ὀχείας τῶν ζῴων καὶ
to-be of-every-kind being about both the copulations of-the animals and

τὰς γενέσεις, ἀλλ᾽ ἐξ ὀλίγου θεωροῦντας οἴεσθαι δεῖν
the generations but from little studying to-think to-be-needful
ἔχειν ὁμοίως ἐπὶ πάντων. Διὸ καὶ οἱ λέγοντες τὰς
to-be likewise in-the-case-of all Wherefore also the saying the
κυήσεις εἶναι ἐκ τοῦ ἀνακάπτειν τὸ σπέρμα τοὺς θήλεις
conceptions to-be from the to-swallow the seed the females
τῶν ἰχθύων, οὐ κατανενοηκότες ἔνια λέγουσιν οὕτως.
of-the fish not having-observed some speak so
Ὑπὸ τὸν αὐτὸν γὰρ καιρὸν οἵ τ᾽ ἄρρενες τὸν θορὸν καὶ αἱ
At the same for season the both males the milt and the
θήλειαι τὰ ᾠὰ ἔχουσι, καὶ ὅσῳ ἂν ᾖ ἐγγυτέρω ἡ θήλεια
females the eggs have and by-as-much-as — be nearer the female
τοῦ τίκτειν, τότε πλείων καὶ ὑγρότερος ὁ θορὸς ἐν τῷ ἄρρενι
to-the to-lay then more and moister the milt in the male
ἐγγίνεται. Καὶ ὥσπερ ἡ αὔξησις κατὰ τὸν αὐτὸν χρόνον τοῦ
arises And just-as the growth at the same time of-the
θοροῦ ἐν τῷ ἄρρενι καὶ τοῦ ᾠοῦ ἐν τῇ θηλείᾳ, οὕτω καὶ ἡ
milt in the male and of-the egg in the female so also the
ἄφεσις συμβαίνει· οὔτε γὰρ αἱ θήλειαι ἀθρόα ἐκτίκτουσιν,
release happens neither for the females all-at-once lay
ἀλλὰ κατὰ μικρόν, οὔθ᾽ οἱ ἄρρενες ἀθρόον ἀφιᾶσι τὸν θορόν.
but by little nor the males all-at-once release the milt
Καὶ ταῦτα πάντα συμβαίνει κατὰ λόγον. Ὥσπερ γὰρ καὶ
And these all happen according-to reason Just-as for also
τὸ τῶν ὀρνέων γένος ἐν ἐνίοις ἴσχει μὲν ᾠὰ ἄνευ κυήσεως,
the of-the birds kind in some has indeed eggs without conception
ὀλίγα δὲ καὶ ὀλιγάκις, ἀλλ᾽ ἐξ ὀχείας τὰ πολλά, τοῦτ᾽
few but and seldom but from copulation the many this
αὐτὸ συμβαίνει καὶ ἐπὶ τῶν ἰχθύων, ἧττον δέ. Ἄγονα
same happens also in-the-case-of the fish less but Infertile

δὲ καὶ ἀμφοτέροις γίνεται τὰ αὐτόματα, ἐὰν μὴ ἐπιρράνῃ
and also in-both become the spontaneous if not sprinkle
τὸ ἄρρεν, ἐν ὅσοις γένεσιν αὐτῶν καὶ τὸ ἄρρεν ἐστίν.
the male in as-many-as kinds of-them also the male is
Τοῖς μὲν οὖν ὄρνισι, διὰ τὸ τέλεια ἐξιέναι τὰ ᾠά, ἔτι
For-the indeed then birds because-of the complete to-come-out the eggs still
ἐντὸς ὄντων ἀνάγκη τοῦτο συμβῆναι· τοῖς δ' ἰχθύσι διὰ
inside being necessary this to-happen for-the but fish because-of
τὸ ἀτελῆ καὶ ἔξω λαμβάνειν τὴν αὔξησιν πᾶσιν, κἂν
the incomplete and outside to-take the growth in-all even-if
ἐξ ὀχείας γένηται τὸ ᾠόν, ὅμως τὰ ἔξω ἐπιρραινόμενα
from copulation come-to-be the egg nevertheless the outside sprinkled
σώζεται, καὶ ἐνταῦθα ἀναλίσκεται ὁ θορὸς τοῖς ἄρρεσιν.
are-preserved and there is-used-up the milt in-the males
Διὸ καὶ συγκαταβαίνει ἐλαττούμενος ἅμα τοῖς
Wherefore also it-goes-down-with diminishing together-with the
ᾠοῖς τοῖς ἐν τοῖς θήλεσιν· ἀεὶ γὰρ τοῖς ἐκτικτομένοις
eggs the in the females always for on-the being-laid
ἐπιρραίνουσι παρακολουθοῦντες. Ὥστε ἄρρενες μὲν καὶ
they-sprinkle following-closely So-that males indeed and
θήλεις εἰσὶ καὶ ὀχεύονται πάντες, εἰ μὴ ἔν τινι γένει
females are and copulate all if not in some kind
ἀδιόριστόν ἐστι τὸ θῆλυ καὶ τὸ ἄρρεν, καὶ ἄνευ τῆς τοῦ
undistinguished is the female and the male and without the of-the
ἄρρενος γονῆς οὐ γίνεται τῶν τοιούτων οὐθέν. Συμβάλλεται
male semen not comes-to-be of-the such anything Contributes
δὲ πρὸς τὴν ἀπάτην αὐτοῖς καὶ τὸ ταχὺν εἶναι τὸν
and to the deception for-them also the quick to-be the
συνδυασμὸν τῶν τοιούτων ἰχθύων, ὥστε πολλοὺς λανθάνειν
coupling of-the such fish so-that many to-escape-notice

καὶ τῶν ἁλιέων· οὐθεὶς γὰρ αὐτῶν οὐθὲν τηρεῖ τοιοῦτον τοῦ
and of-the fishermen none for of-them anything watches such of-the
γνῶναι χάριν. Ἀλλ᾽ ὅμως ὠμμένος ὁ συνδυασμός ἐστιν.
to-know for-the-sake But nevertheless seen the coupling is
Τὸν αὐτὸν γὰρ τρόπον οἵ τε δελφῖνες ὀχεύονται
The same for way the both dolphins copulate
παραπίπτοντες καὶ οἱ ἰχθύες, ὅσοις ἐμποδίζει τὸ οὐραῖον.
falling-alongside and the fish whom hinders the tail
Ἀλλὰ τῶν μὲν δελφίνων χρονιωτέρα ἡ ἀπόλυσίς ἐστι, τῶν
But of-the indeed dolphins longer the release is of-the
δὲ τοιούτων ἰχθύων ταχεῖα. Διόπερ ταύτην οὐχ ὁρῶντες,
but such fish quick Wherefore this not seeing
τὰς δ᾽ ἀνακάψεις τοῦ θοροῦ καὶ τῶν ᾠῶν, καὶ οἱ ἁλιεῖς
the but swallowings of-the milt and of-the eggs also the fishermen
περὶ τῆς κυήσεως τῶν ἰχθύων τὸν εὐήθη λέγουσι λόγον
about the conception of-the fish the simple-minded tell story
καὶ τεθρυλημένον, ὅνπερ καὶ Ἡρόδοτος ὁ μυθολόγος, ὡς
and much-repeated which-very also Herodotus the story-teller that
κυϊσκομένων τῶν ἰχθύων ἐκ τοῦ ἀνακάπτειν τὸν θορόν,
being-impregnated the fish from the to-swallow the milt
οὐ συνορῶντες ὅτι τοῦτ᾽ ἐστὶν ἀδύνατον. Ὁ γὰρ πόρος
not observing that this is impossible The for duct
ὁ διὰ τοῦ στόματος εἰσιὼν εἰς τὴν κοιλίαν φέρει,
the through the mouth entering into the belly leads
ἀλλ᾽ οὐκ εἰς τὰς ὑστέρας· καὶ τὸ μὲν εἰς τὴν κοιλίαν
but not into the uteri and the indeed into the belly
ἐλθὸν ἀνάγκη τροφὴν γίνεσθαι (καταπέττεται γάρ), αἱ
having-come necessary nourishment to-become it-is-digested for the
δ᾽ ὑστέραι φαίνονται πλήρεις ᾠῶν, ἃ πόθεν εἰσῆλθεν.
but uteri appear full of-eggs which whence entered

Anaxagoras and other physicists say, without examination, that ravens and the ibis couple by the mouth and the weasel bears young by it. But ravens are seen billing more than mating, being infrequent breeders, and no one asks how semen could reach the uterus through the belly, which concocts all it receives. These birds have uteri, and the weasel merely carries its tiny young in its mouth. Those who say, as Herodorus does of the trochus, that it and the hyena have both genitals mistake a line under the hyena's tail for a female organ.

Ὁμοίως δὲ καὶ περὶ τὴν τῶν ὀρνίθων γένεσιν ἔχει. Εἰσὶ
Likewise and also about the of-the birds generation it-is There-are
γάρ τινες οἳ λέγουσι κατὰ τὸ στόμα μίγνυσθαι τούς τε
for some who say by the mouth to-mix the both
κόρακας καὶ τὴν ἶβιν, καὶ τῶν τετραπόδων τίκτειν κατὰ
ravens and the ibis and of-the quadrupeds to-bear by
τὸ στόμα τὴν γαλῆν. Ταῦτα γὰρ καὶ Ἀναξαγόρας καὶ
the mouth the weasel These-things for both Anaxagoras and
τῶν ἄλλων τινὲς φυσικῶν λέγουσι, λίαν ἁπλῶς καὶ
of-the other some natural-philosophers say very simply and
ἀσκέπτως λέγοντες, περὶ μὲν οὖν τῶν ὀρνίθων ἐκ
without-examination speaking about indeed then the birds from
συλλογισμοῦ διαψευδόμενοι τῷ τὴν μὲν ὀχείαν ὀλιγάκις
reasoning being-deceived by-the the indeed copulation seldom
ὁρᾶσθαι τὴν τῶν κοράκων, τὴν δὲ τοῖς ῥύγχεσι πρὸς
to-be-seen the of-the ravens the but with-the beaks with
ἄλληλα κοινωνίαν πολλάκις, ἣν πάντα ποιεῖται τὰ
one-another communion often which all make the
κορακώδη τῶν ὀρνέων· δῆλον δὲ τοῦτο ἐπὶ τῶν
raven-like of-the birds clear and this in-the-case-of the
τιθασευομένων κολοιῶν. Τὸ δ' αὐτὸ τοῦτο ποιεῖ καὶ τὸ
tamed jackdaws The and same this does also the

τῶν περιστερῶν γένος· ἀλλὰ διὰ τὸ καὶ ὀχευόμενα
of-the pigeons kind but because-of the also mounting
φαίνεσθαι, διὰ τοῦτο ταύτης οὐ τετυχήκασι τῆς φήμης.
to-appear because-of this this not they-have-met the report
Τὸ δὲ κορακῶδες γένος οὐκ ἔστιν ἀφροδισιαστικόν (ἔστι
The but raven-like kind not is lustful it-is
γὰρ τῶν ὀλιγογόνων), ἐπεὶ ὤπταί γ' ἤδη καὶ τοῦτο
for of-the few-bearing since it-has-been-seen at-least already also this
ὀχευόμενον. Τὸ δὲ δὴ μὴ συλλογίζεσθαι πῶς εἰς τὰς
mounting The but indeed not to-reason how into the
ὑστέρας ἀφικνεῖται τὸ σπέρμα διὰ τῆς κοιλίας πεττούσης
uteri arrives the seed through the belly concocting
ἀεὶ τὸ ἐγγινόμενον, καθάπερ τὴν τροφήν, ἄτοπον.
always the coming-in just-as the nourishment strange
Ὑστέρας δ' ἔχουσι καὶ ταῦτα τὰ ὄρνεα, καὶ ᾠὰ φαίνεται
Uteri and have also these the birds and eggs appear
πρὸς τοῖς ὑποζώμασιν. Καὶ ἡ γαλῆ, καθάπερ τἆλλα
at the diaphragms And the weasel just-as the-other
τετράποδα, τὸν αὐτὸν τρόπον ἔχει ἐκείνοις τὰς ὑστέρας·
quadrupeds the same way has to-those the uteri
ἐξ ὧν εἰς τὸ στόμα πῇ βαδιεῖται τὸ ἔμβρυον; Ἀλλὰ
from which into the mouth how will-go the embryo But
διὰ τὸ τίκτειν πάμπαν μικρὰ τὴν γαλῆν, καθάπερ καὶ
because-of the to-bear altogether small the weasel just-as also
τἆλλα τὰ σχιζόποδα, περὶ ὧν ὕστερον ἐροῦμεν, τῷ
the-other the split-footed about which later we-shall-speak with-the
δὲ στόματι πολλάκις μεταφέρειν τοὺς νεοττούς, ταύτην
and mouth often to-carry the young this
πεποίηκε τὴν δόξαν. Εὐηθικῶς δὲ καὶ λίαν διεψευσμένοι
has-made the opinion Simple-mindedly and also very deceived
καὶ οἱ περὶ τρόχου καὶ ὑαίνης λέγοντες. Φασὶ γὰρ
also those about trochus and hyena speaking They-say for

τὴν μὲν ὕαιναν πολλοί, τὸν δὲ τρόχον Ἡρόδωρος ὁ
the indeed hyena many the and trochus Herodorus the
Ἡρακλεώτης, δύο αἰδοῖα ἔχειν, ἄρρενος καὶ θήλεος, καὶ τὸν
Heracleot two genitals to-have of-male and of-female and the
μὲν τρόχον αὐτὸν αὑτὸν ὀχεύειν, τὴν δ' ὕαιναν ὀχεύειν καὶ
indeed trochus it-itself itself to-mount the but hyena to-mount and
ὀχεύεσθαι παρ' ἔτος. Ὤπται γὰρ ἡ ὕαινα ἓν ἔχουσα
to-be-mounted in-alternate year Has-been-seen for the hyena one having
αἰδοῖον· ἐν ἐνίοις γὰρ τόποις οὐ σπάνις τῆς θεωρίας· ἀλλ'
genital in some for places not scarcity of-the observation but
ἔχουσιν αἱ ὕαιναι ὑπὸ τὴν κέρκον ὁμοίαν γραμμὴν τῷ
have the hyenas under the tail like line to-the
τοῦ θήλεος αἰδοίῳ. Ἔχουσι μὲν οὖν καὶ οἱ ἄρρενες καὶ
of-the female genital Have indeed then both the males and
αἱ θήλειαι τὸ τοιοῦτον σημεῖον, ἀλλ' ἁλίσκονται οἱ ἄρρενες
the females the such mark but are-caught the males
μᾶλλον· διὸ τοῖς ἐκ παρόδου θεωροῦσι ταύτην ἐποίησε
more wherefore to-those in passing observing this made
τὴν δόξαν. Ἀλλὰ περὶ μὲν τούτων ἅλις τὰ εἰρημένα.
the opinion But about indeed these enough the said

Why are the selachians never seen to lay eggs or shed milt, while the other fish are? Because they are not many-seeded. The milt of egg-laying fish is spent on making the laid eggs grow, as bird eggs are completed inside and fish eggs outside. Wind-eggs become fertile, and a first male's eggs take the nature of a later one, if mounting comes before the white separates. A wind-egg is complete as a plant's fetus and incomplete as an animal's, for it lacks perception; an egg from mating is distinguished into white and yolk and holds both principles.

Περὶ δὲ τῆς τῶν ἰχθύων γενέσεως ἀπορήσειεν ἄν τις
About and the of-the fish generation would-be-puzzled — someone
διὰ τίνα ποτὲ αἰτίαν τῶν μὲν σελαχωδῶν οὔθ'
because-of what ever cause of-the indeed selachians neither
αἱ θήλειαι τὰ κυήματα οὔθ' οἱ ἄρρενες ἀπορραίνοντες
the females the fetuses nor the males sprinkling-off
ὁρῶνται τὸν θορόν, τῶν δὲ μὴ ζῳοτόκων καὶ αἱ θήλειαι
are-seen the milt of-the but not live-bearing both the females
τὰ ᾠὰ καὶ οἱ ἄρρενες τὸν θορόν. Αἴτιον δ' ὅτι τὸ γένος
the eggs and the males the milt Cause and that the kind
οὐ πολύσπερμον ὅλως τὸ τῶν σελαχωδῶν. Καὶ ἔτι αἵ
not many-seeded at-all the of-the selachians And further the
γε θήλειαι πρὸς τῷ διαζώματι τὰς ὑστέρας ἔχουσιν. Τὰ
at-least females at the diaphragm the uteri have The
γὰρ ἄρρενα τῶν ἀρρένων καὶ τὰ θήλεα τῶν θηλειῶν
for males than-the males and the females than-the females
ὁμοίως διαφέρουσιν· ὀλιγοχούστεροι γὰρ πρὸς τὴν γονὴν
likewise differ having-less-fluid for as-to the semen
οἱ σελαχώδεις εἰσίν. Τὸ δ' ἄρρεν γένος ἐν τοῖς ᾠοτόκοις
the selachians are The and male kind in the egg-laying
καθάπερ αἱ θήλειαι τὰ ᾠὰ διὰ πλῆθος ἀποτίκτουσιν,
just-as the females the eggs because-of quantity lay

οὕτως ἐκεῖνοι ἀπορραίνουσιν. Πλείω γὰρ ἔχουσι θορὸν ἢ
so they sprinkle-off More for they-have milt than
ὅσον πρὸς τὴν ὀχείαν ἱκανόν· μᾶλλον γὰρ βούλεται ἡ
as-much-as for the copulation sufficient rather for wishes the
φύσις δαπανᾶν τὸν θορὸν πρὸς τὸ συναύξειν τὰ ᾠά, ὅταν
nature to-spend the milt for the to-grow-together the eggs when
ἀποτέκῃ ἡ θήλεια, ἢ πρὸς τὴν ἐξ ἀρχῆς σύστασιν.
lay the female than for the from beginning constitution
Καθάπερ γὰρ ἔν τε τοῖς ἄνω καὶ τοῖς ὑπογύοις εἴρηται
Just-as for in both the above and the just-preceding it-has-been-said
λόγοις, τὰ μὲν τῶν ὀρνέων ᾠὰ τελεοῦται ἐντός, τὰ
discourses the indeed of-the birds eggs are-completed inside the
δὲ τῶν ἰχθύων ἐκτός. Τρόπον γάρ τινα ἔοικε τοῖς
but of-the fish outside In-a-way for some they-resemble the
σκωληκοτοκοῦσιν· ἔτι γὰρ ἀτελέστερον προΐεται τὸ κύημα
larva-bearing still for more-incomplete emit the fetus
τὰ σκωληκοτόκα τῶν ζῴων. Ἀμφοτέροις δὲ τὴν τελείωσιν
the larva-bearing of-the animals For-both and the completion
καὶ τοῖς τῶν ὀρνίθων ᾠοῖς καὶ τοῖς τῶν ἰχθύων ποιεῖ τὸ
both for-the of-the birds eggs and for-the of-the fish makes the
ἄρρεν, ἀλλὰ τοῖς μὲν τῶν ὀρνίθων ἐντός (τελεοῦται γὰρ
male but for-the indeed of-the birds inside they-are-completed for
ἐντός), τοῖς δὲ τῶν ἰχθύων ἐκτὸς διὰ τὸ ἔξω προΐεσθαι
inside for-the but of-the fish outside because-of the outside to-be-emitted
ἀτελές, ἐπεὶ συμβαίνει γε ἐπ' ἀμφοτέρων ταὐτόν.
incomplete since it-happens at-least in-the-case-of both the-same
Τῶν μὲν οὖν ὀρνίθων τά τε ὑπηνέμια γίνεται γόνιμα, καὶ
Of-the indeed then birds the both wind-eggs become fertile and
τὰ προωχευμένα ὑφ' ἑτέρου γένους τῶν ἀρρένων μεταβάλλει
the previously-mounted by another kind of-the males change
τὴν φύσιν εἰς τὸν ὕστερον ὀχεύοντα. Καὶ τὰ οἰκεῖα δὲ
the nature into the later mounting-one Also the own and

ἀναύξητα ὄντα, ἂν διαλείπῃ τὴν ὀχείαν, ὅταν ὀχευθῇ
unincreased being if it-leave-off the copulation when it-be-mounted
πάλιν, ποιεῖ ταχεῖαν λαμβάνειν τὴν αὔξησιν, οὐ μέντοι
again makes quick to-take the growth not however
κατὰ πάντα τὸν χρόνον, ἀλλ' ἐάνπερ πρότερον γένηται
at all the time but if-indeed earlier come-about
ἡ ὀχεία πρὶν μεταβάλλειν εἰς τὴν τοῦ λευκοῦ ἀπόκρισιν.
the copulation before to-change into the of-the white separation
Τοῖς δὲ τῶν ἰχθύων οὐθὲν ὥρισται τοιοῦτον, ἀλλὰ
For-the but of-the fish nothing has-been-determined such but
πρὸς τὸ σώζεσθαι ταχέως ἀπορραίνουσιν οἱ ἄρρενες. Αἴτιον
for the to-be-preserved quickly sprinkle-off the males Cause
δ' ὅτι οὐ δίχροα ταῦτα· διόπερ οὐχ ὥρισται τοιοῦτος
and that not two-colored these wherefore not has-been-determined such
καιρὸς τούτοις οἷος ἐπὶ τῶν ὀρνίθων. Τοῦτο δὲ
season for-these as in-the-case-of the birds This and
συμβέβηκεν εὐλόγως· ὅταν γὰρ τὸ λευκὸν ἀφωρισμένον ᾖ
has-happened reasonably when for the white separated be
καὶ τὸ ὠχρὸν ἀπ' ἀλλήλων, ἔχει ἤδη τὴν ἀπὸ τοῦ ἄρρενος
and the yellow from one-another it-has already the from the male
ἀρχήν· εἰς ταύτην γὰρ συμβάλλεται τὸ ἄρρεν. Τὰ μὲν
principle to this for contributes the male The indeed
οὖν ὑπηνέμια λαμβάνει τὴν γένεσιν μέχρι τοῦ ἐνδεχομένου
then wind-eggs take the generation up-to the possible
αὐτοῖς. Τελεωθῆναι μὲν γὰρ εἰς ζῷον ἀδύνατον (δεῖ
for-them To-be-completed indeed for into animal impossible there-is-need
γὰρ αἰσθήσεως), τὴν δὲ θρεπτικὴν δύναμιν τῆς ψυχῆς
for of-perception the but nutritive power of-the soul
ἔχει καὶ τὰ θήλεα καὶ τὰ ἄρρενα καὶ πάντα τὰ ζῶντα,
have both the females and the males and all the living
καθάπερ εἴρηται πολλάκις· διόπερ αὐτοῦ τὸ ᾠὸν ὡς
just-as has-been-said often wherefore of-it the egg as

μὲν φυτοῦ κύημα τέλειόν ἐστιν, ὡς δὲ ζῴου ἀτελές. Εἰ
indeed of-plant fetus complete is as but of-animal incomplete If
μὲν οὖν μὴ ἐνῆν ἄρρεν ἐν τῷ γένει αὐτῶν, ἐγίγνετ᾽
indeed then not were-in male in the kind of-them it-would-come-to-be
ἂν ὥσπερ καὶ ἐπὶ τῶν ἰχθύων, εἴπερ ἔστι τι
— *just-as also in-the-case-of the fish if-indeed there-is some*
τοιοῦτον γένος οἷον ἄνευ ἄρρενος γεννᾶν· εἴρηται δὲ
such kind as without male to-generate it-has-been-said and
περὶ αὐτῶν καὶ πρότερον, ὅτι οὔ πω ὤπται ἱκανῶς.
about them also before that not yet has-been-seen sufficiently
Νῦν δ᾽ ἐστὶν ἐν πᾶσι ταῖς ὄρνισι τὸ μὲν θῆλυ τὸ
Now but is in all the birds the indeed female the
δ᾽ ἄρρεν, ὥσθ᾽ ᾗ μὲν φυτόν, τετελέωκεν (διόπερ
and male so-that insofar-as indeed plant it-has-been-completed wherefore
οὐ μεταβάλλει πάλιν μετὰ τὴν ὀχείαν), ᾗ δ᾽ οὐ
not changes again after the copulation insofar-as but not
φυτόν, οὐ τετελέωκεν, οὐδ᾽ ἀποβαίνει ἐξ αὐτοῦ ἕτερον
plant not it-has-been-completed nor turns-out from it other
οὐθέν· οὔτε γὰρ ὡς φυτοῦ ἁπλῶς οὔθ᾽ ὡς ζῴου ἐκ
anything neither for as of-plant simply nor as of-animal from
συνδυασμοῦ γέγονεν. Τὰ δ᾽ ἐξ ὀχείας μὲν γενόμενα
coupling it-has-come-to-be The but from copulation indeed having-come-to-be
ᾠά, διακεκριμένα δ᾽ εἰς τὸ λευκόν, γίνεται κατὰ τὸ
eggs separated but into the white become according-to the
πρῶτον ὀχεῦσαν· ἔχει γὰρ ἀμφοτέρας ἤδη τὰς ἀρχάς.
first having-mounted it-has for both already the principles

Cephalopods and crustaceans also bear from copulation, often seen, so those who say all fish are female are ignorant. Their coupling is the longest, as the insects', since they are bloodless and cold. Cuttlefish and squid show two eggs from a divided uterus, the octopus one, its round egg hiding the split. Female crayfish keep their eggs under their flaps; cephalopods lay outside, the male sprinkling as fish do. These eggs grow outside, and the young cuttlefish clings to its egg at the front.

Τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ μαλάκια ποιεῖται τὸν τόκον,
The same and way also the cephalopods make the birth
οἷον σηπίαι καὶ τὰ τοιαῦτα, καὶ τὰ μαλακόστρακα, οἷον
such-as cuttlefish and the such and the crustaceans such-as
κάραβοι καὶ τὰ συγγενῆ τούτοις· τίκτει γὰρ ἐξ ὀχείας καὶ
crayfish and the akin to-these they-bear for from copulation also
ταῦτα, καὶ συνδυαζόμενον τὸ ἄρρεν τῷ θήλει πολλάκις
these and coupling the male with-the female often
ὤπται. Διόπερ οὐδ' ἱστορικῶς οὐδὲ ταύτῃ φαίνονται
has-been-seen Wherefore not-even knowledgeably not-even in-this appear
λέγοντες οἱ φάσκοντες τοὺς ἰχθῦς πάντας εἶναι θήλεις
speaking those asserting the fish all to-be females
καὶ τίκτειν οὐκ ἐξ ὀχείας. Τὸ γὰρ ταῦτα μὲν ἐξ ὀχείας
and to-bear not from copulation The for these indeed from copulation
οἴεσθαι, ἐκεῖνα δὲ μή, θαυμαστόν· εἴ τε τοῦτ' ἐλελήθει,
to-think those but not astonishing if both this had-escaped-notice
σημεῖον ἀπειρίας. Γίνεται δὲ ὁ συνδυασμὸς τούτων
sign of-inexperience Comes-about and the coupling of-these
χρονιώτερος πάντων, ὥσπερ τῶν ἐντόμων, εὐλόγως ἄναιμα
longer than-all just-as of-the insects reasonably bloodless
γάρ ἐστι, διόπερ ψυχρὰ τὴν φύσιν. Ταῖς μὲν οὖν σηπίαις
for they-are wherefore cold in-the nature For-the indeed then cuttlefish
καὶ ταῖς τευθίσι δύο τὰ ᾠὰ φαίνεται διὰ τὸ διηρθρῶσθαι
and for-the squids two the eggs appear because-of the to-be-articulated

τὴν ὑστέραν καὶ φαίνεσθαι δικρόαν, τὸ δὲ τῶν πολυπόδων
the uterus and to-appear two-forked the but of-the octopuses
ἓν ᾠόν. Αἴτιον δ' ἡ μορφὴ στρογγύλη τὴν ἰδέαν οὖσα
one egg Cause and the shape round in-the form being
καὶ σφαιροειδής· ἡ γὰρ σχίσις ἄδηλος πληρωθείσης ἐστίν.
and spherical the for split invisible being-filled is
Δικρόα δὲ καὶ ἡ τῶν καράβων ἐστὶν ὑστέρα. Ἀποτίκτουσι
Two-forked and also the of-the crayfish is uterus They-lay
δὲ τὸ κύημα ἀτελὲς καὶ ταῦτα πάντα διὰ τὴν αὐτὴν
and the fetus incomplete also these all because-of the same
αἰτίαν. Τὰ μὲν οὖν καραβώδη τὰ θήλεα πρὸς αὑτὰ ποιεῖται
cause The indeed then crayfish-like the females to themselves make
τὸν τόκον (διόπερ μείζους ἔχει τὰς πλάκας τὰ θήλεα
the birth wherefore larger they-have the flaps the females
αὐτῶν ἢ τὰ ἄρρενα, φυλακῆς χάριν τῶν ᾠῶν), τὰ δὲ
of-them than the males of-guarding for-the-sake of-the eggs the but
μαλάκια ἔξω. Καὶ τοῖς μὲν θήλεσι τῶν μαλακίων ἐπιρραίνει
cephalopods outside And on-the indeed females of-the cephalopods sprinkles
ὁ ἄρρην, καθάπερ οἱ ἄρρενες ἰχθύες τοῖς ᾠοῖς, καὶ γίγνεται
the male just-as the male fish on-the eggs and it-becomes
συνεχὲς καὶ κολλῶδες· τοῖς δὲ καραβώδεσιν οὔτ' ὤπται
continuous and glue-like for-the but crayfish-like neither has-been-seen
τοιοῦτον οὔτ' εὔλογον. Ὑπό τε γὰρ τῇ θηλείᾳ τὸ κύημα καὶ
such nor reasonable Under both for the female the fetus and
σκληρόδερμόν ἐστι, καὶ λαμβάνει αὔξησιν καὶ ταῦτα καὶ τὰ
hard-skinned it-is and takes growth both these and the
τῶν μαλακίων ἔξω, καθάπερ καὶ τὰ τῶν ἰχθύων, προσπέφυκε
of-the cephalopods outside just-as also the of-the fish is-attached
δ' ἡ γιγνομένη σηπία τοῖς ᾠοῖς κατὰ τὸ πρόσθιον· ταύτῃ
and the arising cuttlefish to-the eggs at the front here
γὰρ ἐνδέχεται μόνον· ἔχει γὰρ μόνον ἐπὶ ταὐτὸ τὸ ὀπίσθιον
for it-is-possible only it-has for only on the-same the back

μέρος καὶ τὸ πρόσθιον. Τὸ δὲ σχῆμα τῆς θέσεως ὃν
part and the front The and shape of-the position which
ἔχει γιγνόμενα τρόπον, δεῖ θεωρεῖν ἐκ τῶν ἱστοριῶν.
it-has coming-to-be way one-must to-study from the inquiries

IX · INSECTS AND LARVAE

The insects and testaceans remain. Insects bear larvae, and nearly all animals in a way bear one first, the most incomplete fetus, which grows while still undistinguished; the live-bearers' first fetus is egg-like, so its early loss is called an outflow. Caterpillars' and spiders' fetuses are larvae, since they change whole; grown, they harden in a husk and lie motionless, like a soft egg laid early. From the husk, at a third stage, the winged insect emerges; the caterpillar feeds, then lies still as chrysalis and nymph.

Περὶ μὲν οὖν τῶν ἄλλων ζῴων τῆς γενέσεως εἴρηται,
About indeed then the other animals the generation it-has-been-said
καὶ πεζῶν καὶ πτηνῶν καὶ πλωτῶν. Περὶ δὲ τῶν ἐντόμων
both land and winged and swimming About and the insects
καὶ τῶν ὀστρακοδέρμων λεκτέον κατὰ τὴν ὑφηγημένην
generation the of-these first Still for incomplete being in
τῷ γένει διορίζεται τὸ θῆλυ καὶ τὸ ἄρρεν. Πότερον δὲ καὶ
the kind is-distinguished the female and the male Whether and also
πρὶν δήλην τὴν διαφορὰν εἶναι πρὸς τὴν αἴσθησιν ἡμῶν
before clear the difference to-be to the perception of-us
τὸ μὲν θῆλυ τὸ δ' ἄρρεν ἐστίν, ἐν τῇ μητρὶ λαβόντα
the indeed female the and male is in the mother having-taken

τὴν διαφορὰν ἢ πρότερον, ἀμφισβητεῖται. Φασὶ γὰρ οἱ
the difference or earlier is-disputed Say for the-ones
μὲν ἐν τοῖς σπέρμασιν εἶναι ταύτην τὴν ἐναντίωσιν εὐθύς,
indeed in the seeds to-be this the opposition at-once
οἷον Ἀναξαγόρας καὶ ἕτεροι τῶν φυσιολόγων· γίνεσθαί
such-as Anaxagoras and others of-the natural-philosophers to-come-to-be
τε γὰρ ἐκ τοῦ ἄρρενος τὸ σπέρμα, τὸ δὲ θῆλυ παρέχειν
both for from the male the seed the but female to-provide
τὸν τόπον, καὶ εἶναι τὸ μὲν ἄρρεν ἐκ τῶν δεξιῶν τὸ δὲ
the place and to-be the indeed male from the right the but
θῆλυ ἐκ τῶν ἀριστερῶν, καὶ τῆς ὑστέρας τὰ μὲν ἄρρενα
female from the left and of-the uterus the indeed males
ἐν τοῖς δεξιοῖς εἶναι τὰ δὲ θήλεα ἐν τοῖς ἀριστεροῖς.
in the right to-be the but females in the left
Οἱ δ' ἐν τῇ μήτρᾳ, καθάπερ Ἐμπεδοκλῆς· τὰ μὲν
The-others and in the womb just-as Empedocles the-ones indeed
γὰρ εἰς θερμὴν ἐλθόντα τὴν ὑστέραν ἄρρενα γίνεσθαί φησι
for into hot having-come the uterus males to-come-to-be he-says
τὰ δ' εἰς ψυχρὰν θήλεα, τῆς δὲ θερμότητος καὶ τῆς
the-others and into cold females of-the and heat and of-the
ψυχρότητος τὴν τῶν καταμηνίων αἰτίαν εἶναι ῥύσιν, ἢ
coldness the of-the menses cause to-be flow either
ψυχροτέραν οὖσαν ἢ θερμοτέραν, καὶ ἢ παλαιοτέραν ἢ
colder being or hotter and either older or
προσφατωτέραν. Δημόκριτος δὲ ὁ Ἀβδηρίτης ἐν μὲν τῇ
more-recent Democritus and the Abderite in indeed the
μητρὶ γίνεσθαί φησι τὴν διαφορὰν τοῦ θήλεος καὶ τοῦ
mother to-come-to-be says the difference of-the female and of-the
ἄρρενος, οὐ μέντοι διὰ θερμότητά γε καὶ ψυχρότητα
male not however because-of heat at-least and coldness
τὸ μὲν γίγνεσθαι θῆλυ τὸ δ' ἄρρεν, ἀλλ' ὁποτέρου
the-one indeed to-come-to-be female the-other and male but of-whichever

ἂν κρατήσῃ τὸ σπέρμα τὸ ἀπὸ τοῦ μορίου ἐλθὸν ᾧ
— prevail the seed the from the part having-come by-which
διαφέρουσιν ἀλλήλων τὸ θῆλυ καὶ τὸ ἄρρεν. Τοῦτο γὰρ
differ from-one-another the female and the male This for
ὡς ἀληθῶς Ἐμπεδοκλῆς ῥαθυμότερον ὑπείληφεν, οἰόμενος
as truly Empedocles more-carelessly has-supposed thinking
ψυχρότητι καὶ θερμότητι διαφέρειν μόνον ἀλλήλων, ὁρῶν
by-coldness and by-heat to-differ only from-one-another seeing
ὅλα τὰ μόρια μεγάλην ἔχοντα διαφορὰν τήν τε τῶν αἰδοίων
whole the parts great having difference the both of-the genitals
καὶ τὴν τῆς ὑστέρας. Εἰ γὰρ πεπλασμένων τῶν ζῴων, τοῦ
and the of-the uterus If for having-been-molded the animals the-one
μὲν τὰ μόρια ἔχοντος τὰ τοῦ θήλεος πάντα, τοῦ δὲ τὰ
indeed the parts having the of-the female all the-other but the
τοῦ ἄρρενος, καθάπερ εἰς κάμινον εἰς τὴν ὑστέραν τεθείη,
of-the male just-as into furnace into the uterus should-be-placed
τὸ μὲν ἔχον ὑστέραν εἰς θερμήν, τὸ δὲ μὴ ἔχον εἰς ψυχράν,
the indeed having uterus into hot the but not having into cold
ἔσται θῆλυ τὸ οὐκ ἔχον ὑστέραν καὶ ἄρρεν τὸ ἔχον.
there-will-be female the not having uterus and male the having
Τοῦτο δ' ἀδύνατον. Ὥστε ταύτῃ γε βέλτιον ἂν λέγοι
This and impossible So-that in-this at-least better — would-speak
Δημόκριτος· ζητεῖ γὰρ ταύτης τῆς γενέσεως τὴν διαφορὰν
Democritus he-seeks for of-this the generation the difference
καὶ πειρᾶται λέγειν· εἰ δὲ καλῶς ἢ μὴ καλῶς, ἕτερος
and tries to-tell whether but well or not well other
λόγος. Ἀλλὰ μὴν κἂν ᾖ τῶν μορίων τῆς διαφορᾶς
account But truly even-if be of-the parts of-the difference
αἴτιον ἡ θερμότης καὶ ἡ ψυχρότης, τοῦτο λεκτέον ἦν
cause the heat and the coldness this must-be-said was
τοῖς ἐκείνως λέγουσιν· τοῦτο γάρ ἐστιν ὡς εἰπεῖν
by-those in-that-way speaking this for is so-to-speak —

τὸ λέγειν περὶ γενέσεως ἄρρενος καὶ θήλεος τοῦτο γὰρ
the to-speak about generation of-male and of-female this for
διαφέρει φανερῶς οὐ μικρόν τε ἔργον τὸ ἀπ᾽ ἐκείνης τῆς
differs plainly not small and task the from that the
ἀρχῆς περὶ τῆς γενέσεως τούτων τῶν μορίων τὴν αἰτίαν
principle about the generation of-these the parts the cause
συναγαγεῖν, ὡς ἀναγκαῖον ἀκολουθεῖν ψυχομένῳ μὲν τῷ
to-gather as necessary to-follow being-chilled indeed the
ζῴῳ γίνεσθαι τοῦτο τὸ μόριον ἢν καλοῦσιν ὑστέραν,
animal to-come-to-be this the part which they-call uterus
θερμαινομένῳ δὲ μὴ γίνεσθαι. Τὸν αὐτὸν δὲ τρόπον καὶ
being-heated but not to-come-to-be The same and way also
περὶ τῶν εἰς τὴν ὁμιλίαν συντελούντων μορίων· καὶ γὰρ
about the for the intercourse contributing parts also for
ταῦτα διαφέρει, καθάπερ εἴρηται πρότερον. Ἔτι δὲ
these differ just-as has-been-said before Further and
γίνεται δίδυμα θῆλυ καὶ ἄρρεν ἅμα ἐν τῷ αὐτῷ μορίῳ
come-to-be twins female and male together in the same part
πολλάκις τῆς ὑστέρας, καὶ τοῦθ᾽ ἱκανῶς τεθεωρήκαμεν
often of-the uterus and this sufficiently we-have-observed
ἐκ τῶν ἀνατομῶν ἐν πᾶσι τοῖς ζῳοτοκοῦσι, καὶ ἐν
from the dissections in all the live-bearing both in
τοῖς πεζοῖς καὶ ἐν τοῖς ἰχθύσιν· περὶ ὧν εἰ μὲν μὴ
the land and in the fish about which if indeed not
συνεωράκει, εὐλόγως ἡμάρτανε ταύτην τὴν αἰτίαν εἰπών, εἰ
he-had-observed reasonably he-erred this the cause stating if
δ᾽ ἑωρακώς, ἄτοπον τὸ ἔτι νομίζειν αἰτίαν εἶναι τὴν τῆς
but having-seen strange the still to-think cause to-be the of-the
ὑστέρας θερμότητα ἢ ψυχρότητα· ἄμφω γὰρ ἂν ἐγίνετο
uterus heat or coldness both for — would-come-to-be
ἢ θήλεα ἢ ἄρρενα, νῦν δὲ τοῦτ᾽ οὐχ ὁρῶμεν συμβαῖνον.
either females or males now but this not we-see happening

Λέγοντί τε τὰ μόρια διεσπάσθαι τοῦ γινομένου
For-him-saying both the parts to-have-been-torn-apart of-the coming-to-be
(τὰ μὲν γὰρ ἐν τῷ ἄρρενί φησιν εἶναι τὰ δ' ἐν
the-ones indeed for in the male he-says to-be the-others and in
τῷ θήλει, διὸ καὶ τῆς ἀλλήλων ὁμιλίας ἐπιθυμεῖν)
the female wherefore also the of-one-another intercourse to-desire
ἀναγκαῖον καὶ τῶν τοιούτων διῃρῆσθαι τὸ μέγεθος
necessary also of-the such to-have-been-divided the size
καὶ γίνεσθαι σύνοδον, ἀλλ' οὐ διὰ ψύξιν ἢ θερμασίαν.
and to-come-to-be union but not because-of chilling or heating
Ἀλλὰ περὶ μὲν τῆς τοιαύτης αἰτίας τοῦ σπέρματος τάχ'
But about indeed the such cause of-the seed perhaps
ἂν εἴη πολλὰ λέγειν· ὅλως γὰρ ἔοικεν ὁ τρόπος τῆς
— it-would-be much to-say generally for seems the manner of-the
αἰτίας πλασματώδης εἶναι. Εἰ δ' ἔστι περὶ σπέρματος
cause fictitious to-be If and it-is about seed
οὕτως ἔχον ὥσπερ τυγχάνομεν εἰρηκότες, καὶ μήτ' ἀπὸ
so being just-as we-happen having-said and neither from
παντὸς ἀπέρχεται μήθ' ὅλως τὸ ἀπὸ τοῦ ἄρρενος παρέχει
all it-departs nor at-all the from the male provides
τοῖς γινομένοις ὕλην μηδεμίαν, καὶ πρὸς τοῦτον καὶ
to-the coming-to-be matter any both toward this-one and
πρὸς Δημόκριτον, καὶ εἴ τις ἄλλος οὕτω τυγχάνει λέγων,
toward Democritus and if some other so happens speaking
ὁμοίως ἀπαντητέον. Οὔτε γὰρ διεσπασμένον ἐνδέχεται τὸ
likewise one-must-reply Neither for torn-apart is-possible the
σῶμα τοῦ σπέρματος εἶναι, τὸ μὲν ἐν τῷ θήλει τὸ
body of-the seed to-be the-one indeed in the female the-other
δ' ἐν τῷ ἄρρενι, καθάπερ Ἐμπεδοκλῆς φησὶν εἰπὼν
and in the male just-as Empedocles says saying

ἀλλὰ διέσπασται μελέων φύσις, ἡ μὲν ἐν ἀνδρός,
but has-been-torn-apart of-limbs nature the-one indeed in of-man

οὔτ' ἐξ ἑκατέρου πᾶν ἀποκρινόμενον, τῷ κρατῆσαί τι
nor from each whole being-separated by-the to-prevail some
μέρος ἄλλου μέρους γίνεσθαι τὸ μὲν θῆλυ τὸ δ'
part over-other part to-come-to-be the-one indeed female the-other and
ἄρρεν. Ὅλως δὲ τό γε τὴν τοῦ μέρους ὑπεροχὴν
male Generally and the at-least the of-the part excess
κρατήσασαν ποιεῖν θῆλυ βέλτιον μὲν ἢ μηθὲν φροντίσαντα
having-prevailed to-make female better indeed than nothing having-thought
τὸ θερμὸν αἰτιᾶσθαι μόνον, τὸ μέντοι συμβαίνειν ἅμα
the hot to-blame only the however to-happen together
καὶ τὴν τοῦ αἰδοίου μορφὴν ἑτέραν δεῖται λόγου πρὸς τὸ
also the of-the genital shape different needs account for the
συνακολουθεῖν ἀεὶ ταῦτ' ἀλλήλοις. Εἰ γὰρ ὅτι σύνεγγυς,
to-follow-along always these each-other If for because near
καὶ τῶν λοιπῶν ἕκαστον ἔδει μορίων ἀκολουθεῖν.
also of-the remaining each it-was-needful of-the-parts to-follow
Ἑτέρῳ γὰρ ἕτερον ἐγγὺς τῶν νικώντων, ὥστε ἅμα θῆλύ
To-another for other near of-the winning so-that together female
τ' ἂν ἦν καὶ τῇ μητρὶ ἐοικός, ἢ ἄρρεν καὶ τῷ
both — would-be and to-the mother like or male and to-the
πατρί. Ἔτι ἄτοπον καὶ τὸ μόνον ταῦτ' οἴεσθαι δεῖν
father Further strange also the only these to-think to-be-needed
γίγνεσθαι τὰ μόρια, καὶ μὴ τὸ σύνολον μεταβεβληκέναι
to-come-to-be the parts and not the whole to-have-changed
σῶμα, καὶ μάλιστα καὶ πρῶτον τὰς φλέβας, περὶ ἃς
body and most and first the veins about which
ὡς περὶ ὑπογραφὴν τὸ σῶμα περίκειται τὸ τῶν σαρκῶν.
as about outline the body lies-around the of-the fleshes

Ἃς οὐ διὰ τὴν ὑστέραν εὔλογον γενέσθαι ποιάς
Which not because-of the uterus reasonable to-become of-a-quality
τινας, ἀλλὰ μᾶλλον δι᾽ ἐκείνας τὴν ὑστέραν.
some but rather because-of those the uterus
Ὑποδοχὴ γὰρ αἵματός τινος ἑκάτερον, προτέρα δ᾽ ἡ τῶν
Receptacle for of-blood some each prior and the of-the
φλεβῶν. Τὴν δὲ κινοῦσαν ἀρχὴν ἀναγκαῖον ἀεὶ προτέραν
veins The but moving principle necessary always prior
εἶναι καὶ τῆς γενέσεως αἰτίαν τῷ ποιὰν εἶναί τινα.
to-be and of-the generation cause by-the of-a-quality to-be some
Συμβαίνει μὲν οὖν ἡ διαφορὰ τῶν μερῶν τούτων πρὸς
Happens indeed then the difference of-the parts these toward
ἄλληλα τοῖς θήλεσι καὶ τοῖς ἄρρεσιν, ἀλλ᾽ οὐκ ἀρχὴν
one-another to-the females and to-the males but not principle
οἰητέον οὐδ᾽ αἰτίαν εἶναι ταύτην, ἀλλ᾽ ἑτέραν, κἂν εἰ
one-must-think nor cause to-be this but other even if
μηθὲν ἀποκρίνεται σπέρμα μήτε ἀπὸ τοῦ θήλεος μήτ᾽
no is-separated seed either from the female or
ἀπὸ τοῦ ἄρρενος, ἀλλ᾽ ὅπως δή ποτε συνίσταται τὸ
from the male but however indeed ever is-constituted the
σπέρμα τὸ γιγνόμενον. Ὁ δ᾽ αὐτὸς λόγος καὶ πρὸς τοὺς
seed the coming-to-be The and same argument also against those
λέγοντας τὸ μὲν ἄρρεν ἀπὸ τῶν δεξιῶν εἶναι τὸ δὲ θῆλυ
saying the indeed male from the right to-be the but female
ἀπὸ τῶν ἀριστερῶν, ὅσπερ καὶ πρὸς Ἐμπεδοκλέα καὶ
from the left which-very also against Empedocles and
πρὸς Δημόκριτον. Εἴτε γὰρ μηδεμίαν ὕλην συμβάλλεται
against Democritus If-either for no matter contributes
τὸ ἄρρεν, οὐθὲν ἂν λέγοιεν οἱ λέγοντες οὕτως· εἴτε καὶ
the male nothing — they-would-say those speaking so or-if also
συμβάλλεται, καθάπερ φασίν, ὁμοίως ἀναγκαῖον ἀπαντᾶν
it-contributes just-as they-say likewise necessary to-meet

καὶ πρὸς τὸν Ἐμπεδοκλέους λόγον, ὃς διορίζει τὸ θῆλυ
also against the of-Empedocles argument who distinguishes the female
πρὸς τὸ ἄρρεν θερμότητι καὶ ψυχρότητι τῆς ὑστέρας.
from the male by-heat and by-coldness of-the uterus
Οἱ δὲ τὸ αὐτὸ ποιοῦσι, τοῖς δεξιοῖς καὶ τοῖς ἀριστεροῖς
They and the same do with-the right and with-the left
ὁρίζοντες, ὁρῶντες διαφέροντα τὸ θῆλυ καὶ τὸ ἄρρεν καὶ
defining seeing differing the female and the male also
μορίοις ὅλοις, ὧν διὰ τίν' αἰτίαν ὑπάρξει τοῖς ἐκ
by-parts whole of-which because-of what cause will-belong to-those from
τῶν ἀριστερῶν, τοῖς δ' ἐκ τῶν δεξιῶν οὐχ ὑπάρξει τὸ
the left to-those but from the right not will-belong the
σῶμα τὸ τῆς ὑστέρας; Ἂν γὰρ ἔλθῃ μὲν μὴ σχῇ δὲ τοῦτο
body the of-the uterus If for it-come indeed not have but this
τὸ μόριον, ἔσται θῆλυ οὐκ ἔχον ὑστέραν καὶ ἄρρεν ἔχον,
the part there-will-be female not having uterus and male having
ἂν τύχῃ. Ἔτι δ' ὅπερ εἴρηται καὶ πρότερον, ὥπται
if it-happen Further and which-very has-been-said also before has-been-seen
καὶ θῆλυ ἐν τῷ δεξιῷ μέρει τῆς ὑστέρας καὶ ἄρρεν ἐν τῷ
both female in the right part of-the uterus and male in the
ἀριστερῷ καὶ ἄμφω ἐν τῷ αὐτῷ μέρει, καὶ τοῦτ' οὐχ ὅτι
left and both in the same part and this not that
ἅπαξ ἀλλὰ πλεονάκις, ἢ τὸ ἄρρεν μὲν ἐν τοῖς δεξιοῖς,
once but more-often or the male indeed in the right
τὸ θῆλυ δ' ἐν τοῖς ἀριστεροῖς· οὐχ ἧττον δὲ ἀμφότερα
the female and in the left not less and both
γίνεται ἐν τοῖς δεξιοῖς. Παραπλησίως δέ τινες πεπεισμένοι
come-to-be in the right Similarly and some persuaded
τούτοις εἰσὶ καὶ λέγουσιν ὡς τὸν δεξιὸν ὄρχιν ἀποδουμένοις
to-these are and say that the right testis tying-off

ἢ τὸν ἀριστερὸν συμβαίνει τοῖς ὀχεύουσιν ἀρρενοτοκεῖν
or the left it-happens to-those mounting to-bear-males
ἢ θηλυτοκεῖν· οὕτω γὰρ καὶ Λεωφάνης ἔλεγεν.
or to-bear-females so for also Leophanes said
Ἐπί τε τῶν ἐκτεμνομένων τὸν ἕτερον ὄρχιν τὸ
In-the-case-of both the being-cut-out the one testis the
αὐτὸ τοῦτο συμβαίνειν τινές φασιν, οὐκ ἀληθῆ λέγοντες,
same this to-happen some say not true saying
ἀλλὰ μαντευόμενοι τὸ συμβησόμενον ἐκ τῶν εἰκότων,
but divining the going-to-happen from the likelihoods
καὶ προλαμβάνοντες ὡς οὕτως ἔχον πρὶν γινόμενον οὕτως
and anticipating as so being before coming-to-be so
ἰδεῖν, ἔτι δ' ἀγνοοῦντες ὡς οὐθὲν συμβάλλεται πρὸς τὴν
to-see further and not-knowing that nothing contributes toward the
γένεσιν τῆς ἀρρενογονίας καὶ θηλυγονίας τὰ μόρια ταῦτα
generation of-the male-bearing and female-bearing the parts these
τοῖς ζῴοις. Τούτου δὲ σημεῖον ὅτι πολλὰ τῶν ζῴων
for-the animals Of-this and sign that many of-the animals
αὐτά τε θήλεα καὶ ἄρρενά ἐστι, καὶ γεννᾷ τὰ μὲν θήλεα
themselves both female and male are and generate the indeed females
τὰ δ' ἄρρενα, ὄρχεις οὐκ ἔχοντα, καθάπερ τὰ μὴ ἔχοντα
the and males testes not having just-as the not having
πόδας, οἷον τό τε τῶν ἰχθύων γένος καὶ τὸ τῶν ὄφεων.
feet such-as the both of-the fish kind and the of-the snakes
Τὸ μὲν οὖν θερμότητα καὶ ψυχρότητα αἰτίαν οἴεσθαι
The indeed then heat and coldness cause to-think
τοῦ ἄρρενος καὶ τοῦ θήλεος, καὶ τὸ τὴν ἀπόκρισιν ἀπὸ
of-the male and of-the female and the the secretion from
τῶν δεξιῶν γίνεσθαι ἢ τῶν ἀριστερῶν, ἔχει τινὰ λόγον·
the right to-come-to-be or the left has some reason
θερμότερα γὰρ τὰ δεξιὰ τοῦ σώματος τῶν ἀριστερῶν,
hotter for the right of-the body than-the left

καὶ τὸ σπέρμα τὸ πεπεμμένον θερμότερον, τοιοῦτον δὲ
and the seed the concocted hotter such and
τὸ συνεστός, γονιμώτερον δὲ τὸ συνεστὸς μᾶλλον.
the constituted more-fertile and the constituted more
Ἀλλὰ λίαν τὸ λέγειν οὕτω πόρρωθέν ἐστιν ἅπτεσθαι
But very the to-speak so from-afar is to-touch
τῆς αἰτίας, δεῖ δ' ὅτι μάλιστα προσάγειν ἐκ τῶν
the cause one-must and as much-as-possible to-approach from the
ἐνδεχομένων ἐγγὺς τῶν πρώτων αἰτίων. Περὶ μὲν οὖν ὅλου
possible near the first causes About indeed then whole
τοῦ σώματος καὶ τῶν μορίων, τί τε ἕκαστόν ἐστι καὶ
the body and the parts what both each is and
διὰ τίν' αἰτίαν, εἴρηται πρότερον ἐν ἑτέροις. Ἀλλ' ἐπεὶ
because-of what cause it-has-been-said before in other-works But since
τὸ ἄρρεν καὶ τὸ θῆλυ διώρισται δυνάμει τινὶ καὶ ἀδυναμίᾳ
the male and the female are-distinguished by-capacity some and incapacity
(τὸ μὲν γὰρ δυνάμενον πέττειν καὶ συνιστάναι τε καὶ
the indeed for able to-concoct and to-constitute both and
ἐκκρίνειν σπέρμα ἔχον τὴν ἀρχὴν τοῦ εἴδους ἄρρεν· λέγω
to-secrete seed having the principle of-the form male I-call
δ' ἀρχὴν οὐ τὴν τοιαύτην ἐξ ἧς ὥσπερ ὕλης γίνεται
and principle not the such from which just-as from-matter comes-to-be
τοιοῦτον οἷον τὸ γεννῶν, ἀλλὰ τὴν κινοῦσαν πρώτην,
such as the generating but the moving first
ἐάν τ' ἐν αὐτῷ ἐάν τ' ἐν ἄλλῳ τοῦτο δύνηται ποιεῖν· τὸ
whether — in itself or — in other this it-can to-do the
δὲ δεχόμενον μὲν ἀδυνατοῦν δὲ συνιστάναι καὶ ἐκκρίνειν
but receiving indeed incapable but to-constitute and to-secrete
θῆλυ) ἔτι εἰ πᾶσα πέψις ἐργάζεται θερμῷ, ἀνάγκη καὶ
female further if all concoction works by-heat necessary also
τῶν ζῴων τὰ ἄρρενα τῶν θηλέων θερμότερα εἶναι. Διὰ
of-the animals the males than-the females hotter to-be Because-of

γὰρ ψυχρότητα καὶ ἀδυναμίαν πολυαιμεῖ κατὰ τόπους
for coldness and incapacity is-full-of-blood in places
τινὰς τὸ θῆλυ μᾶλλον· καὶ ἔστιν αὐτὸ τοὐναντίον σημεῖον
some the female more and is it the-opposite sign
ἢ δι' ἥνπερ αἰτίαν οἴονταί τινες τὸ θῆλυ θερμότερον
than because-of which-very cause think some the female hotter
εἶναι τοῦ ἄρρενος, διὰ τὴν τῶν καταμηνίων πρόεσιν.
to-be than-the male because-of the of-the menses discharge
Τὸ μὲν γὰρ αἷμα θερμόν, τὸ δὲ πλεῖον ἔχον μᾶλλον.
The indeed for blood hot the but more having more
Ὑπολαμβάνουσι δὲ τοῦτο γίνεσθαι τὸ πάθος δι'
They-suppose and this to-come-to-be the affection because-of
ὑπερβολὴν αἵματος καὶ θερμότητος, ὥσπερ ἐνδεχόμενον
excess of-blood and of-heat just-as possible
αἷμα εἶναι πᾶν ὁμοίως, ἄνπερ μόνον ὑγρὸν ᾖ καὶ τὴν χρόαν
blood to-be all likewise if-indeed only moist be and the color
αἱματῶδες, καὶ οὐκ ἔλαττον γινόμενον καὶ καθαρώτερον τοῖς
blood-like and not less coming-to-be and purer in-the
εὐτροφοῦσιν. Οἱ δ' ὥσπερ τὸ κατὰ τὴν κοιλίαν περίττωμα,
well-nourished They and just-as the in the belly residue
τὸ πλεῖον τοῦ ἐλάττονος οἴονται σημεῖον εἶναι θερμῆς
the more than-the less think sign to-be of-hot
φύσεως μᾶλλον. Καίτοι τοὐναντίον ἐστίν. Ὥσπερ γὰρ καὶ
nature more And-yet the-opposite is Just-as for also
ἐκ τῆς πρώτης τροφῆς ἐκ πολλῆς ὀλίγον ἀποκρίνεται τὸ
from the first nourishment from much little is-separated the
χρήσιμον ἐν ταῖς περὶ τοὺς καρποὺς ἐργασίαις, καὶ τέλος
useful in the about the fruits workings and finally
οὐθὲν μέρος τὸ ἔσχατον πρὸς τὸ πρῶτον πλῆθός ἐστιν,
no part the last compared-with the first multitude is
οὕτω πάλιν καὶ ἐν τῷ σώματι διαδεχόμενα τὰ μέρη ταῖς
so again also in the body succeeding-one-another the parts in-the

ἐργασίαις, τὸ τελευταῖον πάμπαν μικρὸν ἐξ ἁπάσης γίνεται
workings the last altogether small from all becomes
τῆς τροφῆς. Τοῦτο δὲ ἐν μέν τισιν αἷμά ἐστιν, ἐν δέ τισι
the nourishment This and in indeed some blood is in but others
τὸ ἀνάλογον. Ἐπεὶ δὲ τὸ μὲν δύναται τὸ δ' ἀδυνατεῖ
the analogous Since and the-one indeed can the-other but cannot
ἐκκρῖναι τὸ περίττωμα καθαρόν, ἁπάσῃ δὲ δυνάμει ὄργανόν
to-secrete the residue pure for-every and capacity instrument
τί ἐστι, καὶ τῇ χεῖρον ἀποτελούσῃ ταὐτὸ καὶ τῇ
some is and for-the worse accomplishing the-same and for-the
βέλτιον, τὸ δὲ θῆλυ καὶ τὸ ἄρρεν, πλεοναχῶς λεγομένου τοῦ
better the and female and the male in-many-senses being-said the
δυνατοῦ καὶ τοῦ ἀδυνάτου, τοῦτον ἀντίκειται τὸν τρόπον,
capable and the incapable this are-opposed the way
ἀνάγκη γὰρ καὶ τῷ θήλει καὶ τῷ ἄρρενι εἶναι ὄργανα,
necessary for both for-the female and for-the male to-be instruments
τῷ μὲν οὖν ἡ ὑστέρα τῷ δ' ὁ περίνεός ἐστιν.
for-the-one indeed then the uterus for-the-other and the perineum is
Ἅμα δ' ἡ φύσις τήν τε δύναμιν ἀποδίδωσιν ἑκάστῳ
At-the-same-time and the nature the both capacity gives to-each
καὶ τὸ ὄργανον· βέλτιον γὰρ οὕτως. Διὸ ἕκαστοι οἱ
and the instrument better for so Wherefore each the
τόποι ἅμα ταῖς ἐκκρίσεσι γίνονται καὶ ταῖς δυνάμεσιν,
places together-with the secretions come-to-be and with-the capacities
ὥσπερ οὔθ' ἡ ὄψις ἄνευ ὀφθαλμῶν οὔτ' ὀφθαλμὸς
just-as neither the sight without eyes nor eye
τελειοῦται ἄνευ ὄψεως, καὶ κοιλία καὶ κύστις ἅμα
is-completed without sight and belly and bladder together-with
τῷ δύνασθαι τὰ περιττώματα γίνεσθαι. Ὄντος δὲ τοῦ
the to-be-able the residues to-come-to-be Being and the
αὐτοῦ ἐξ οὗ τε γίνεται καὶ αὔξεται, τοῦτο δ' ἐστὶν ἡ
same from which both comes-to-be and grows this and is the

τροφή, ἕκαστον ἂν γίνοιτο τῶν μορίων ἐκ τοιαύτης
nourishment each — would-come-to-be of-the parts from such
ὕλης ἧς δεκτικόν ἐστι, καὶ τοιούτου περιττώματος.
matter of-which receptive it-is and such residue
Ἔτι δὲ γίνεται πάλιν, ὡς φαμέν, ἐκ τοῦ ἐναντίου πως.
Further and comes-to-be again as we-say from the opposite somehow
Τρίτον δὲ πρὸς τούτοις ληπτέον ὅτι εἴπερ ἡ
Third and in-addition-to these it-must-be-grasped that if-indeed the
φθορὰ εἰς τοὐναντίον, καὶ τὸ μὴ κρατούμενον ὑπὸ τοῦ
destruction into the-opposite also the not being-mastered by the
δημιουργοῦντος ἀνάγκη μεταβάλλειν εἰς τοὐναντίον. Τούτων
crafting necessary to-change into the-opposite These
δ' ὑποκειμένων ἴσως ἂν ἤδη μᾶλλον εἴη φανερὸν
and being-assumed perhaps — already more would-be plain
δι' ἣν αἰτίαν γίνεται τὸ μὲν θῆλυ τὸ δ' ἄρρεν.
because-of what cause comes-to-be the-one indeed female the-other and male
Ὅταν γὰρ μὴ κρατῇ ἡ ἀρχὴ μηδὲ δύνηται πέψαι δι'
When for not master the principle nor be-able to-concoct because-of
ἔνδειαν θερμότητος μηδ' ἀγάγῃ εἰς τὸ ἴδιον εἶδος τὸ αὐτοῦ,
lack of-heat nor bring into the own form the of-itself
ἀλλὰ ταύτῃ ἡττηθῇ, ἀνάγκη εἰς τοὐναντίον μεταβάλλειν.
but in-this be-defeated necessary into the-opposite to-change
Ἐναντίον δὲ τῷ ἄρρενι τὸ θῆλυ, καὶ ταύτῃ ᾗ τὸ μὲν
Opposite and to-the male the female and in-this in-which the-one indeed
ἄρρεν τὸ δὲ θῆλυ. Ἐπεὶ δ' ἔχει διαφορὰν ἐν τῇ δυνάμει,
male the-other and female Since and it-has difference in the capacity
ἔχει καὶ τὸ ὄργανον διαφέρον· ὥστ' εἰς τοιοῦτον μεταβάλλει.
it-has also the instrument differing so-that into such it-changes
Ἑνὸς δὲ μορίου ἐπικαίρου μεταβάλλοντος ὅλη ἡ σύστασις
One and part vital changing whole the constitution
τοῦ ζῴου πολὺ τῷ εἴδει διαφέρει. Ὁρᾶν δ' ἔξεστιν
of-the animal much in-the form differs To-see and it-is-possible

ἐπὶ τῶν εὐνούχων, οἳ ἑνὸς μορίου πηρωθέντος
in-the-case-of the eunuchs who one part having-been-maimed
τοσοῦτον ἐξαλλάττουσι τῆς ἀρχαίας μορφῆς καὶ μικρὸν
so-much alter from-the original shape and little
λείπουσι τοῦ θήλεος τὴν ἰδέαν. Τούτου δ' αἴτιον ὅτι ἔνια
fall-short of-the female in-the form Of-this and cause that some
τῶν μορίων ἀρχαί εἰσιν· ἀρχῆς δὲ κινηθείσης πολλὰ
of-the parts principles are principle and having-been-moved many
ἀνάγκη μεθίστασθαι τῶν ἀκολουθούντων. Εἰ οὖν τὸ μὲν
necessary to-shift of-the following If then the indeed
ἄρρεν ἀρχή τις καὶ αἴτιον, ἔστι δ' ἄρρεν ᾗ δύναταί
male principle some and cause is and male insofar-as it-can
τι, θῆλυ δὲ ᾗ ἀδυνατεῖ, τῆς δὲ δυνάμεως ὅρος
something female and insofar-as it-cannot of-the and capacity limit
καὶ τῆς ἀδυναμίας τὸ πεπτικὸν εἶναι ἢ μὴ πεπτικὸν τῆς
and of-the incapacity the concocting to-be or not concocting of-the
ὑστάτης τροφῆς, ὃ ἐν μὲν τοῖς ἐναίμοις αἷμα καλεῖται
last nourishment which in indeed the blooded blood is-called
ἐν δὲ τοῖς ἄλλοις τὸ ἀνάλογον, τούτου δὲ τὸ αἴτιον ἐν τῇ
in but the others the analogous of-this and the cause in the
ἀρχῇ καὶ τῷ μορίῳ τῷ ἔχοντι τὴν τῆς φυσικῆς θερμότητος
principle and the part the having the of-the natural heat
ἀρχήν, ἀναγκαῖον ἄρα ἐν τοῖς ἐναίμοις συνίστασθαι
principle necessary therefore in the blooded to-be-constituted
καρδίαν, καὶ ἢ ἄρρεν ἔσεσθαι ἢ θῆλυ τὸ γινόμενον.
heart and either male to-be-going-to-be or female the coming-to-be
Ἐν δὲ τοῖς ἄλλοις γένεσιν ὑπάρχει τὸ θῆλυ καὶ τὸ ἄρρεν
In and the other kinds is-present-in the female and the male
τὸ τῇ καρδίᾳ ἀνάλογον. Ἡ μὲν οὖν ἀρχὴ τοῦ θήλεος καὶ
the to-the heart analogous The indeed then principle of-the female and
ἄρρενος καὶ ἡ αἰτία αὕτη καὶ ἐν τούτῳ ἐστίν. Θῆλυ δ' ἤδη
male and the cause this and in this is Female and already

καὶ ἄρρεν ἐστίν, ὅταν ἔχῃ καὶ τὰ μόρια οἷς διαφέρει τὸ
and male it-is when it-have also the parts by-which differs the
θῆλυ τοῦ ἄρρενος. Οὐ γὰρ καθ' ὁτιοῦν μέρος ἄρρεν οὐδὲ
female from-the male Not for in any-whatever part male nor
θῆλυ, ὥσπερ οὐδ' ὁρῶν καὶ ἀκοῦον. Ἀναλαβόντες δὲ πάλιν
female just-as not-even seeing and hearing Taking-up and again
λέγομεν ὅτι τὸ μὲν σπέρμα ὑπόκειται περίττωμα τροφῆς
we-say that the indeed seed is-assumed residue of-nourishment
ὂν τὸ ἔσχατον. Ἔσχατον δὲ λέγω τὸ πρὸς ἕκαστον
being the last Last and I-call the to each
φερόμενον. Διὸ καὶ ἔοικε τὸ γεννώμενον τῷ γεννήσαντι.
being-carried Wherefore also resembles the generated to-the having-generated
Οὐθὲν γὰρ διαφέρει ἀφ' ἑκάστου τῶν μορίων ἀπελθεῖν
Nothing for it-differs from each of-the parts to-have-come-away
ἢ πρὸς ἕκαστον προσελθεῖν, ὀρθότερον δ' οὕτως. Διαφέρει
or to each to-have-come-to more-correct and so Differs
δὲ τὸ τοῦ ἄρρενος σπέρμα, ὅτι ἔχει ἀρχὴν ἐν ἑαυτῷ
and the of-the male seed in-that it-has principle in itself
τοιαύτην οἵαν κινεῖν καὶ ἐν τῷ ζῴῳ καὶ διαπέττειν τὴν
such as to-move also in the animal and to-concoct-through the
ἐσχάτην τροφήν, τὸ δὲ τοῦ θήλεος ὕλην μόνον.
last nourishment the but of-the female matter only
Κρατῆσαν μὲν οὖν εἰς αὐτὸ ἄγει, κρατηθὲν δ' εἰς
Having-prevailed indeed then into itself it-brings having-been-prevailed-over and into
τοὐναντίον μεταβάλλει ἢ εἰς φθοράν. Ἐναντίον δὲ τῷ ἄρρενι
the-opposite it-changes or into destruction Opposite and to-the male
τὸ θῆλυ. Θῆλυ δὲ τῇ ἀπεψίᾳ καὶ τῇ ψυχρότητι τῆς
the female Female and by-the non-concoction and by-the coldness of-the
αἱματικῆς τροφῆς. Ἡ δὲ φύσις ἑκάστῳ τῶν περιττωμάτων
sanguineous nourishment The and nature to-each of-the residues
ἀποδίδωσι τὸ δεκτικὸν μόριον. Τὸ δὲ σπέρμα περίττωμα.
gives the receptive part The and seed residue

Τοῦτο δὲ τοῖς μὲν θερμοτέροις καὶ ἄρρεσι τῶν ἐναίμων
This and in-the indeed hotter and males of-the blooded
εὔογκον τῷ πλήθει, διὸ τὰ δεκτικὰ μόρια πόροι ταύτης
bulky in-the quantity wherefore the receptive parts ducts of-this
τῆς περιττώσεώς εἰσι τοῖς ἄρρεσιν. Τοῖς δὲ θήλεσι δι'
the residue are for-the males For-the but females because-of
ἀπεψίαν πλῆθος αἱματικόν (ἀκατέργαστον γάρ), ὥστε καὶ
non-concoction quantity sanguineous unworked-up for so-that also
μόριον δεκτικὸν ἀναγκαῖον εἶναί τι, καὶ εἶναι τοῦτο ἀνόμοιον
part receptive necessary to-be some and to-be this unlike
καὶ μέγεθος ἔχειν. Διὸ τῆς ὑστέρας τοιαύτη ἡ φύσις
and size to-have Wherefore of-the uterus such the nature
ἐστίν. Τούτῳ δὲ τὸ θῆλυ διαφέρει τῷ μορίῳ τοῦ ἄρρενος.
is By-this and the female differs by-the part from-the male

II · SIGNS OF THE ACCOUNT

The facts agree: the young and the aging bear more females, moister, more womanish bodies and liquid seeds produce females, and north winds give more males than south winds, as the moon's waning gives the menses. Herdsmen say even the direction an animal faces in mating matters. Male and female need a proportion to one another, as cooking needs the right heat; so some couples cannot breed together but can apart, and waters and countries differ in fertility for the same cause.

Διὰ τίνα μὲν οὖν αἰτίαν γίνεται τὸ μὲν θῆλυ
Because-of what indeed then cause comes-to-be the-one indeed female
τὸ δ' ἄρρεν, εἴρηται. Τεκμήρια δὲ τὰ συμβαίνοντα
the-other and male it-has-been-said Proofs and the agreeing
τοῖς εἰρημένοις. Τά τε γὰρ νέα θηλυτόκα μᾶλλον
with-the said The both for young female-bearing more
τῶν ἀκμαζόντων, καὶ γηράσκοντα μᾶλλον· τοῖς μὲν
than-the in-their-prime and aging more for-the-ones indeed

γὰρ οὔπω τέλειον τὸ θερμόν, τοῖς δ' ἀπολείπει.
for not-yet complete the heat for-the-others and it-fails
Καὶ τὰ μὲν ὑγρότερα τῶν σωμάτων καὶ γυναικικώτερα
And the indeed moister of-the bodies and more-womanish
θηλυγόνα μᾶλλον, καὶ τὰ σπέρματα τὰ ὑγρὰ τῶν
female-producing more and the seeds the moist than-the
συνεστηκότων· πάντα γὰρ ταῦτα γίνεται δι' ἔνδειαν
constituted all for these come-to-be because-of lack
θερμότητος φυσικῆς. Καὶ τὸ βορείοις ἀρρενοτοκεῖν
of-heat natural And the in-north-winds to-bear-males
μᾶλλον ἢ νοτίοις· ὥστε καὶ περιττωματικώτερα. Τὸ
more than in-south-winds so-that also more-residual The
δὲ πλεῖον περίττωμα δυσπεπτότερον· διὸ τοῖς μὲν
and more residue harder-to-concoct wherefore for-the indeed
ἄρρεσιν ὑγρότερον τὸ σπέρμα, ταῖς δὲ γυναιξὶν ἡ τῶν
males moister the seed for-the and women the of-the
καταμηνίων ἔκκρισις. Καὶ τὸ γίνεσθαι δὲ τὰ καταμήνια
menses discharge Also the to-come-to-be and the menses
τὰ κατὰ φύσιν φθινόντων τῶν μηνῶν μᾶλλον διὰ
the according-to nature waning the months more because-of
τὴν αὐτὴν αἰτίαν συμβαίνει. Ψυχρότερος γὰρ ὁ χρόνος
the same cause happens Colder for the time
οὗτος τοῦ μηνὸς καὶ ὑγρότερος διὰ τὴν φθίσιν καὶ
this of-the month and moister because-of the waning and
τὴν ἀπόλειψιν τῆς σελήνης· ὁ μὲν γὰρ ἥλιος ἐν ὅλῳ τῷ
the failing of-the moon the indeed for sun in whole the
ἐνιαυτῷ ποιεῖ χειμῶνα καὶ θέρος, ἡ δὲ σελήνη ἐν τῷ μηνί.
year makes winter and summer the but moon in the month
Τοῦτο δ' οὐ διὰ τὰς τροπάς, ἀλλὰ τὸ μὲν
This and not because-of the solstices but the-one indeed
αὐξανομένου συμβαίνει τοῦ φωτός, τὸ δὲ φθίνοντος.
waxing happens the light the-other and waning

Φασὶ δὲ καὶ οἱ νομεῖς διαφέρειν πρὸς θηλυγονίαν καὶ
Say and also the herdsmen to-make-a-difference toward female-production and
ἀρρενογονίαν οὐ μόνον ἐὰν συμβαίνῃ τὴν ὀχείαν γίνεσθαι
male-production not only if it-happen the copulation to-come-about
βορείοις ἢ νοτίοις, ἀλλὰ κἂν ὀχευόμενα βλέπῃ πρὸς
in-north-winds or in-south-winds but even-if mounting they-look toward
νότον ἢ βορέαν· οὕτω μικρὰν ἐνίοτε ῥοπὴν αἰτίαν γίνεσθαι
south or north so small sometimes inclination cause to-become
τῆς ψυχρότητος καὶ θερμότητος, ταῦτα δὲ τῆς γενέσεως.
of-the coldness and heat these and of-the generation
Διέστηκε μὲν οὖν ὅλως πρὸς ἄλληλα τό τε θῆλυ καὶ τὸ
Stand-apart indeed then wholly from one-another the both female and the
ἄρρεν πρὸς τὴν ἀρρενογονίαν καὶ θηλυγονίαν διὰ τὰς
male toward the male-production and female-production because-of the
εἰρημένας αἰτίας, οὐ μὴν ἀλλὰ καὶ δεῖ συμμετρίας
said causes not truly but also there-must-be proportion
πρὸς ἄλληλα· πάντα γὰρ τὰ γινόμενα κατὰ τέχνην ἢ
toward one-another all for the coming-to-be by art or
φύσιν λόγῳ τινί ἐστιν. Τὸ δὲ θερμὸν λίαν μὲν κρατοῦν
nature by-ratio some is The and heat too indeed prevailing
ξηραίνει τὰ ὑγρά, πολὺ δὲ ἐλλεῖπον οὐ συνίστησιν,
dries the moist-things much but falling-short not constitutes
ἀλλὰ δεῖ πρὸς τὸ δημιουργούμενον ἔχειν τὸν τοῦ μέσου
but it-must toward the being-crafted to-have the of-the mean
λόγον. Εἰ δὲ μή, καθάπερ ἐν τοῖς ἑψομένοις προσκάει μὲν
ratio If but not just-as in the being-boiled burns indeed
τὸ πλεῖον πῦρ, οὐχ ἕψει δὲ τὸ ἔλαττον, ἀμφοτέρως δὲ
the more fire not boils but the less in-both-ways and
συμβαίνει μὴ τελειοῦσθαι τὸ γινόμενον, οὕτω καὶ ἐν τῇ τοῦ
it-happens not to-be-completed the coming-to-be so also in the of-the
ἄρρενος μίξει καὶ τοῦ θήλεος δεῖ τῆς συμμετρίας.
male mixing and of-the female there-must-be the proportion

Καὶ διὰ τοῦτο πολλοῖς καὶ πολλαῖς συμβαίνει μετ'
And because-of this to-many-men and to-many-women it-happens with
ἀλλήλων μὲν μὴ γεννᾶν, διαζευχθεῖσι δὲ γεννᾶν, καὶ ὁτὲ
one-another indeed not to-generate having-been-separated but to-generate and at-times
μὲν νέοις ὁτὲ δὲ πρεσβυτέροις οὖσι ταύτας γίνεσθαι
indeed young at-times and older being these to-come-about
τὰς ὑπεναντιώσεις, ὁμοίως περί τε γένεσιν καὶ ἀγονίαν καὶ
the contrarieties likewise about both generation and barrenness and
ἀρρενογονίαν καὶ θηλυγονίαν. Διαφέρει δὲ καὶ χώρα χώρας
male-production and female-production Differs and also country from-country
εἰς ταῦτα καὶ ὕδωρ ὕδατος διὰ τὰς αὐτὰς αἰτίας. Ποιὰ
for these and water from-water because-of the same causes Of-a-quality
γάρ τις ἡ τροφὴ γίνεται μάλιστα, καὶ τοῦ σώματος ἡ
for some the nourishment becomes most and of-the body the
διάθεσις, διά τε τὴν κρᾶσιν τοῦ περιεστῶτος ἀέρος καὶ
disposition because-of both the blend of-the surrounding air and
τῶν εἰσιόντων, μάλιστα δὲ διὰ τὴν τοῦ ὕδατος τροφήν·
of-the entering-things most and because-of the of-the water nourishment
τοῦτο γὰρ πλεῖστον εἰσφέρονται, καὶ ἐν πᾶσίν ἐστὶ τροφὴ
this for most they-take-in and in all is nourishment
τοῦτο, καὶ ἐν τοῖς ξηροῖς. Διὸ καὶ τὰ ἀτέραμνα ὕδατα
this even in the dry Wherefore also the hard waters
καὶ ψυχρὰ τὰ μὲν ἀτεκνίαν ποιεῖ τὰ δὲ θηλυτοκίαν.
and cold the-ones indeed childlessness make the-others and female-bearing

The same causes explain why offspring resemble the father or the mother, in the whole or in parts, or the ancestors, or no one, so that a child unlike its parents is already in a way a monster, and the female the first departure. The begetter is not only male but such a male, Coriscus or Socrates; a motion in the seed that does not prevail departs to its opposite, or relaxes into the nearest, father's to grandfather's. Pangenesis fails, and the mixed seed is the better account but unclear; a calf with a child's head is only a likeness, since gestation times differ.

Αἱ δ' αὐταὶ αἰτίαι καὶ τοῦ τὰ μὲν ἐοικότα γίνεσθαι
The and same causes also of-the the-ones indeed resembling to-become
τοῖς τεκνώσασι τὰ δὲ μὴ ἐοικότα, καὶ τὰ μὲν πατρὶ
the parents the-others and not resembling and the-ones indeed the-father
τὰ δὲ μητρί, κατά τε ὅλον τὸ σῶμα καὶ κατὰ
the-others and the-mother according-to both whole the body and according-to
μόριον ἕκαστον, καὶ μᾶλλον, αὐτοῖς ἢ τοῖς προγόνοις,
part each and more them than the ancestors
καὶ τούτοις ἢ τοῖς τυχοῦσι, καὶ τὰ μὲν ἄρρενα μᾶλλον
and these than the chance-ones and the indeed males more
τῷ πατρὶ τὰ δὲ θήλεα τῇ μητρί, τὰ δ' οὐδενὶ τῶν
the father the but females the mother the-others and none of-the
συγγενῶν, ὅμως δ' ἀνθρώπῳ γέ τινι, τὰ δ'
kin nevertheless and a-human at-least some the-others and
οὐδ' ἀνθρώπῳ τὴν ἰδέαν ἀλλ' ἤδη τέρατι. Καὶ γὰρ ὁ
not-even a-human in-the form but already a-monster And for the
μὴ ἐοικὼς τοῖς γονεῦσιν ἤδη τρόπον τινὰ τέρας ἐστίν·
not resembling the parents already in-a-way some monster is
παρεκβέβηκε γὰρ ἡ φύσις ἐν τούτοις ἐκ τοῦ γένους
has-departed for the nature in these from the kind
τρόπον τινά. Ἀρχὴ δὲ πρώτη τὸ θῆλυ γενέσθαι καὶ μὴ
in-a-way some Beginning and first the female to-come-to-be and not

ἄρρεν. Ἀλλ' αὕτη μὲν ἀναγκαία τῇ φύσει· δεῖ γὰρ
male But this indeed necessary to-the nature it-must for
σώζεσθαι τὸ γένος τῶν κεχωρισμένων κατὰ τὸ θῆλυ καὶ
to-be-preserved the kind of-the separated by the female and
τὸ ἄρρεν. Ἐνδεχομένου δὲ μὴ κρατεῖν ποτὲ τοῦ ἄρρενος
the male It-being-possible and not to-prevail sometimes the male
ἢ διὰ νεότητα ἢ γῆρας ἢ δι' ἄλλην τινὰ αἰτίαν
either because-of youth or age or because-of other some cause
τοιαύτην, ἀνάγκη γίνεσθαι θηλυτοκίαν ἐν τοῖς ζῴοις.
such necessary to-come-about female-bearing in the animals
Τὸ δὲ τέρας οὐκ ἀναγκαῖον πρὸς τὴν ἕνεκά του
The but monster not necessary with-respect-to the for-the-sake of-something
καὶ τὴν τοῦ τέλους αἰτίαν, ἀλλὰ κατὰ συμβεβηκὸς
and the of-the end cause but by accident
ἀναγκαῖον, ἐπεὶ τήν γ' ἀρχὴν ἐντεῦθεν δεῖ λαμβάνειν.
necessary since the at-least principle from-here one-must to-take
Εὐπέπτου μὲν γὰρ οὔσης τῆς περιττώσεως ἐν τοῖς
Well-concocted indeed for being the residue in the
καταμηνίοις τῆς σπερματικῆς, καθ' αὑτὴν ποιήσει τὴν
menses the seminal by itself will-make the
μορφὴν ἡ τοῦ ἄρρενος κίνησις. Τὸ γὰρ γονὴν λέγειν ἢ
form the of-the male motion The for semen to-call or
κίνησιν τὴν αὔξουσαν ἕκαστον τῶν μορίων οὐθὲν διαφέρει,
motion the increasing each of-the parts nothing differs
οὐδὲ τὴν αὔξουσαν ἢ τὴν συνιστᾶσαν ἐξ ἀρχῆς· ὁ γὰρ
nor the increasing or the constituting from beginning the for
αὐτὸς λόγος τῆς κινήσεως. Ὥστε κρατούσης μὲν ἄρρεν
same ratio of-the motion So-that prevailing indeed male
τε ποιήσει καὶ οὐ θῆλυ, καὶ ἐοικὸς τῷ γεννῶντι ἀλλ' οὐ
both it-will-make and not female and resembling the generator but not
τῇ μητρί· μὴ κρατῆσαν δέ, καθ' ὁποίαν ἂν μὴ κρατήσῃ
the mother not having-prevailed and in whichever — not it-prevail

δύναμιν, τὴν ἔλλειψιν ποιεῖ κατ' αὐτήν. Λέγω δ' ἑκάστην
capacity the deficiency makes according-to it I-mean and each
δύναμιν τόνδε τὸν τρόπον. Τὸ γεννῶν ἐστὶν οὐ μόνον
capacity this the way The generating is not only
ἄρρεν ἀλλὰ καὶ τοῖον ἄρρεν, οἷον Κορίσκος ἢ Σωκράτης,
male but also such male such-as Coriscus or Socrates
καὶ οὐ μόνον Κορίσκος ἐστὶν ἀλλὰ καὶ ἄνθρωπος.
and not only Coriscus is but also human
Καὶ τοῦτον δὴ τὸν τρόπον τὰ μὲν ἐγγύτερον τὰ
And this indeed the way the-ones indeed nearer the-others
δὲ πορρώτερον ὑπάρχει τῷ γεννῶντι, καθὸ γεννητικόν,
and farther belong to-the generator insofar-as generative
ἀλλ' οὐ κατὰ συμβεβηκός, οἷον εἰ γραμματικὸς ὁ γεννῶν
but not by accident such-as if grammarian the generator
ἢ γείτων τινός, ἀεὶ δ' ἰσχύει πρὸς τὴν γένεσιν μᾶλλον
or neighbor of-someone always and prevails toward the generation more
τὸ ἴδιον καὶ τὸ καθ' ἕκαστον. Ὁ γὰρ Κορίσκος καὶ
the peculiar and the according-to each — for Coriscus both
ἄνθρωπός ἐστι καὶ ζῷον· ἀλλ' ἐγγύτερον τοῦ ἰδίου ὁ
human is and animal but nearer to-the peculiar the
ἄνθρωπος ἢ τὸ ζῷον. Γεννᾷ δὲ καὶ τὸ καθ' ἕκαστον
human than the animal Generates and both the according-to each
καὶ τὸ γένος, ἀλλὰ μᾶλλον τὸ καθ' ἕκαστον· τοῦτο γὰρ
and the kind but more the according-to each this for
ἡ οὐσία. Καὶ γὰρ τὸ γινόμενον γίνεται μὲν καὶ ποιόν
the substance And for the coming-to-be comes-to-be indeed also of-a-quality
τι, ἀλλὰ τόδε τι καὶ τοῦθ' ἡ οὐσία. Διόπερ ἀπὸ
something but this something and this the substance Wherefore from
τῶν δυνάμεων ὑπάρχουσιν αἱ κινήσεις ἐν τοῖς σπέρμασι
the capacities belong the motions in the seeds
πάντων τῶν τοιούτων, δυνάμει δὲ καὶ τῶν προγόνων,
of-all the such in-potentiality and also of-the ancestors

μᾶλλον δὲ τοῦ ἐγγύτερον ἀεὶ τῶν καθ' ἕκαστόν
more but of-the nearer always of-the according-to each
τινος. Λέγω δὲ καθ' ἕκαστον τὸν Κορίσκον καὶ τὸν
some I-mean and according-to each — Coriscus and —
Σωκράτην. Ἐπεὶ δ' ἐξίσταται πᾶν οὐκ εἰς τὸ τυχὸν ἀλλ'
Socrates Since and departs everything not into the chance but
εἰς τὸ ἀντικείμενον, καὶ τὸ ἐν τῇ γενέσει μὴ κρατούμενον
into the opposite also the in the generation not being-mastered
ἀναγκαῖον ἐξίστασθαι καὶ γίνεσθαι τὸ ἀντικείμενον, καθ'
necessary to-depart and to-become the opposite in
ἣν δύναμιν οὐκ ἐκράτησε τὸ γεννῶν καὶ κινοῦν.
which capacity not prevailed the generating and moving
Ἐὰν μὲν οὖν ᾖ ἄρρεν, θῆλυ γίνεται, ἐὰν δὲ ᾖ
If indeed then insofar-as male female it-becomes if but insofar-as
Κορίσκος ἢ Σωκράτης, οὐ τῷ πατρὶ ἐοικὸς ἀλλὰ τῇ μητρὶ
Coriscus or Socrates not to-the father resembling but to-the mother
γίνεται· ἀντίκειται γὰρ ὥσπερ τῷ ὅλῳ πατρὶ μήτηρ, καὶ
it-becomes is-opposed for just-as to-the whole father mother and
τῷ καθ' ἕκαστον γεννῶντι ἡ καθ' ἕκαστον γεννῶσα.
to-the according-to each generator the according-to each generatrix
Ὁμοίως δὲ καὶ κατὰ τὰς ἐχομένας δυνάμεις· ἀεὶ γὰρ εἰς
Likewise and also according-to the adjoining capacities always for into
τὸν ἐχόμενον μεταβαίνει μᾶλλον τῶν προγόνων, καὶ ἐπὶ
the adjoining it-passes more of-the ancestors both in-the-case-of
πατέρων καὶ μητέρων. Ἔνεισι δ' αἱ μὲν ἐνεργείᾳ τῶν
fathers and mothers Are-in and the-ones indeed in-actuality of-the
κινήσεων, αἱ δὲ δυνάμει, ἐνεργείᾳ μὲν αἱ τοῦ γεννῶντος
motions the-others and in-potentiality in-actuality indeed the of-the generator
καὶ τῶν καθόλου, οἷον ἀνθρώπου καὶ ζῴου, δυνάμει δὲ
and of-the universals such-as of-human and of-animal in-potentiality and
αἱ τοῦ θήλεος καὶ τῶν προγόνων. Μεταβάλλει μὲν οὖν
the of-the female and of-the ancestors Changes indeed then

ἐξιστάμενον πρὸς τὰ ἀντικείμενα, λύονται δὲ αἱ κινήσεις
departing toward the opposites are-relaxed and the motions
αἱ δημιουργοῦσαι εἰς τὰς ἐγγύς, οἷον ἡ τοῦ γεννῶντος ἂν
the crafting into the near-ones such-as the of-the generator if
λυθῇ κίνησις, ἐλαχίστῃ διαφορᾷ μεταβαίνει εἰς τὴν τοῦ
be-relaxed motion by-least difference it-passes into the of-the
πατρός, δεύτερον δ' εἰς τὴν τοῦ πάππου· καὶ τοῦτον δὴ τὸν
father second and into the of-the grandfather and this indeed the
τρόπον καὶ ἐπὶ τῶν ἀρρένων καὶ ἐπὶ τῶν θηλειῶν
way both in-the-case-of the males and in-the-case-of the females
ἡ τῆς γεννώσης εἰς τὴν τῆς μητρός, ἐὰν δὲ μὴ εἰς ταύτην,
the of-the generatrix into the of-the mother if but not into this
εἰς τὴν τῆς τήθης· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄνωθεν.
into the of-the grandmother likewise and also in-the-case-of the from-above
Μάλιστα μὲν οὖν πέφυκεν ᾗ ἄρρεν καὶ ᾗ πατήρ,
Most indeed then it-is-natural insofar-as male and insofar-as father
ἅμα κρατεῖν καὶ κρατεῖσθαι. Μικρὰ γὰρ ἡ διαφορά, ὥστ'
together to-prevail and to-be-prevailed-over Small for the difference so-that
οὐκ ἔργον ἅμα συμβῆναι ἀμφότερα· ὁ γὰρ Σωκράτης ἀνὴρ
not task together to-happen both — for Socrates man
τοιόσδε τις. Διὸ ὡς ἐπὶ τὸ πολὺ τὰ μὲν ἄρρενα τῷ
such-and-such some Wherefore as for the most-part the indeed males the
πατρὶ ἔοικεν, τὰ δὲ θήλεα τῇ μητρί. Ἅμα γὰρ εἰς ἄμφω
father resemble the but females the mother Together for into both
ἔκστασις ἐγένετο, ἀντίκειται δὲ τῷ μὲν ἄρρενι τὸ θῆλυ
departure came-about is-opposed and to-the indeed male the female
τῷ δὲ πατρὶ ἡ μήτηρ· ἡ δ' ἔκστασις εἰς τἀντικείμενα.
to-the and father the mother the and departure into the-opposites
Ἐὰν δ' ἡ μὲν ἀπὸ τοῦ ἄρρενος κρατήσῃ κίνησις, ἡ δ'
If but the indeed from the male prevail motion the but
ἀπὸ τοῦ Σωκράτους μὴ κρατήσῃ, ἢ αὕτη μὲν ἐκείνη δὲ
from — Socrates not prevail or this indeed that but

μή, τότε συμβαίνει γίνεσθαι ἄρρενά τε μητρὶ ἐοικότα καὶ
not then it-happens to-come-to-be males both mother resembling and
θήλεα πατρί. Ἐὰν δὲ λυθῶσιν αἱ κινήσεις, καὶ ᾗ μὲν
females father If and be-relaxed the motions and insofar-as indeed
ἄρρεν μείνῃ, ᾗ δὲ τοῦ Σωκράτους λυθῇ εἰς τὴν τοῦ
male it-remain the but — of-Socrates be-relaxed into the of-the
πατρός, ἔσται ἄρρεν τῷ πάππῳ ἐοικὸς ἢ τῶν ἄλλων
father there-will-be male the grandfather resembling or of-the others
τινὶ τῶν ἄνωθεν προγόνων κατὰ τοῦτον τὸν λόγον.
some of-the from-above ancestors according-to this the ratio
Κρατηθέντος δὲ ᾗ ἄρρεν, θῆλυ ἔσται, καὶ
Having-been-prevailed-over and insofar-as male female there-will-be and
ἐοικὸς μάλιστα μὲν τῇ μητρί, ἐὰν δὲ καὶ αὕτη λυθῇ ἡ
resembling most indeed the mother if but also this be-relaxed the
κίνησις, μητρὶ μητρὸς ἢ ἄλλῃ τινὶ τῶν ἄνωθεν ἔσται ἡ
motion mother of-mother or other some of-the from-above there-will-be the
ὁμοιότης κατὰ τὸν αὐτὸν λόγον. Ὁ δ' αὐτὸς τρόπος
likeness according-to the same ratio The and same way
καὶ ἐπὶ τῶν μορίων· καὶ γὰρ τῶν μορίων τὰ μὲν
also in-the-case-of the parts and for of-the parts the-ones indeed
τῷ πατρὶ ἔοικε πολλάκις, τὰ δὲ τῇ μητρί, τὰ δὲ
the father resemble often the-others and the mother the-others and
τῶν προγόνων τισίν. Ἔνεισι γὰρ καὶ τῶν μορίων αἱ
of-the ancestors some Are-in for also of-the parts the-ones
μὲν ἐνεργείᾳ κινήσεις αἱ δὲ δυνάμει, καθάπερ εἴρηται
indeed in-actuality motions the-others and in-potentiality just-as has-been-said
πολλάκις. Καθόλου δὲ δεῖ λαβεῖν ὑποθέσεις, μίαν μὲν
often Universally and one-must to-take hypotheses one indeed
τὴν εἰρημένην, ὅτι ἔνεισι τῶν κινήσεων αἱ μὲν δυνάμει
the said that are-in of-the motions the-ones indeed in-potentiality
αἱ δ' ἐνεργείᾳ, ἄλλας δὲ δύο, ὅτι κρατούμενον μὲν
the-others and in-actuality others and two that being-prevailed-over indeed

ἐξίσταται εἰς τὸ ἀντικείμενον, λυόμενον δὲ εἰς τὴν ἐχομένην
it-departs into the opposite being-relaxed and into the adjoining
κίνησιν, καὶ ἧττον μὲν λυόμενον εἰς τὴν ἐγγύς, μᾶλλον
motion and less indeed being-relaxed into the near more
δὲ εἰς τὴν πορρώτερον. Τέλος δ' οὕτως συγχέονται
and into the farther Finally and so they-are-confounded
ὥστε μηθενὶ ἐοικέναι τῶν οἰκείων καὶ συγγενῶν, ἀλλὰ
so-that to-none to-resemble of-the own and kin but
λείπεσθαι τὸ κοινὸν μόνον καὶ εἶναι ἄνθρωπον.
to-be-left the common only and to-be human
Τούτου δ' αἴτιον ὅτι πᾶσιν ἀκολουθεῖ τοῦτο τοῖς καθ'
Of-this and cause that all follows this the according-to
ἕκαστον· καθόλου γὰρ ὁ ἄνθρωπος, ὁ δὲ Σωκράτης
each universal for the human — but Socrates
πατήρ, καὶ ἡ μήτηρ ἥτις ποτ' ἦν, τῶν καθ' ἕκαστον.
father and the mother whoever ever was of-the according-to each
Αἴτιον δὲ τοῦ μὲν λύεσθαι τὰς κινήσεις ὅτι τὸ ποιοῦν καὶ
Cause and of-the indeed to-be-relaxed the motions that the acting also
πάσχει ὑπὸ τοῦ πάσχοντος, οἷον τὸ τέμνον ἀμβλύνεται
is-acted-upon by the being-acted-upon such-as the cutting is-blunted
ὑπὸ τοῦ τεμνομένου καὶ τὸ θερμαῖνον ψύχεται ὑπὸ τοῦ
by the being-cut and the heating is-chilled by the
θερμαινομένου, καὶ ὅλως τὸ κινοῦν ἔξω τοῦ πρώτου
being-heated and generally the moving except the first
ἀντικινεῖταί τινα κίνησιν, οἷον τὸ ὠθοῦν ἀντωθεῖταί πως
is-moved-back some motion such-as the pushing is-pushed-back somehow
καὶ ἀντιθλίβεται τὸ θλῖβον. Ἐνίοτε δὲ καὶ ὅλως ἔπαθε
and is-pressed-back the pressing Sometimes and also wholly it-suffered
μᾶλλον ἢ ἐποίησεν, καὶ ἐψύχθη μὲν τὸ θερμαῖνον,
more than it-acted and was-chilled indeed the heating
ἐθερμάνθη δὲ τὸ ψῦχον, ὁτὲ μὲν οὐθὲν ποιῆσαν, ὁτὲ
was-heated and the chilling at-times indeed nothing having-acted at-times

δὲ ἧττον ἢ παθόν. Εἴρηται δὲ περὶ αὐτῶν ἐν τοῖς
and less than having-suffered It-has-been-said and about them in the
περὶ τοῦ ποιεῖν καὶ πάσχειν διωρισμένοις, ἐν ποίοις
about the to-act and to-be-acted-upon determinations in what-sort
ὑπάρχει τῶν ὄντων τὸ ποιεῖν καὶ πάσχειν. Ἐξίσταται
belongs of-the beings the to-act and to-be-acted-upon Departs
δὲ τὸ πάσχον καὶ οὐ κρατεῖται ἢ δι' ἔλλειψιν
and the being-acted-upon and not is-mastered either because-of deficiency
δυνάμεως τοῦ πέττοντος καὶ κινοῦντος, ἢ διὰ πλῆθος
of-power of-the concocting and moving or because-of quantity
καὶ ψυχρότητα τοῦ πεττομένου καὶ διοριζομένου.
and coldness of-the being-concocted and being-determined
Τῇ μὲν γὰρ κρατοῦν τῇ δὲ οὐ κρατοῦν ποιεῖ
In-one-place indeed for prevailing in-another and not prevailing it-makes
πολύμορφον τὸ συνιστάμενον, οἷον ἐπὶ τῶν ἀθλητῶν
multiform the being-constituted such-as in-the-case-of the athletes
συμβαίνει διὰ τὴν πολυφαγίαν. Διὰ πλῆθος γὰρ
happens because-of the gluttony Because-of quantity for
τροφῆς οὐ δυναμένης τῆς φύσεως κρατεῖν, ὥστ' ἀνάλογον
of-nourishment not being-able the nature to-master so-that proportionally
αὔξειν καὶ διαμένειν ὁμοίαν τὴν μορφήν, ἀλλοῖα γίνεται
to-increase and to-remain like the shape other-sorts become
τὰ μέρη, καὶ σχεδὸν ἐνίοθ' οὕτως ὥστε μηθὲν ἐοικέναι
the parts and nearly sometimes so so-that nothing to-resemble
τῷ πρότερον. Παραπλήσιον δὲ τούτῳ καὶ τὸ νόσημα τὸ
to-the former Similar and to-this also the disease the
καλούμενον σατυριᾶν· καὶ γὰρ ἐν τούτῳ διὰ ῥεύματος
called satyriasis and for in this because-of of-flux
ἢ πνεύματος ἀπέπτου πλῆθος, εἰς μόρια τοῦ προσώπου
or of-breath unconcocted quantity into parts of-the face
παρεμπεσόντος, τοῦ ζῴου καὶ σατύρου φαίνεται τὸ
having-fallen-in of-the animal and of-satyr appears the

πρόσωπον. Διὰ τίνα μὲν οὖν αἰτίαν θήλεα καὶ ἄρρενα
face Because-of what indeed then cause females and males
γίνεται, καὶ τὰ μὲν ἐοικότα τοῖς γονεῦσι, θήλεά τε θήλεσι
come-to-be and the-ones indeed resembling the parents females both females
καὶ ἄρρενα ἄρρεσι, τὰ δ' ἀνάπαλιν, θήλεά τε τῷ πατρὶ
and males males the-others and conversely females both the father
καὶ ἄρρενα τῇ μητρί, καὶ ὅλως τὰ μὲν τοῖς προγόνοις
and males the mother and generally the-ones indeed the ancestors
ἔοικε τὰ δ' οὐθενί, καὶ ταῦτα καὶ καθ' ὅλον τὸ σῶμα
resemble the-others and none and these both according-to whole the body
καὶ τῶν μορίων ἕκαστον, διώρισται περὶ πάντων.
and of-the parts each it-has-been-determined about all
Εἰρήκασι δέ τινες τῶν φυσιολόγων καὶ ἕτεροι περὶ τούτων,
Have-spoken and some of-the natural-philosophers also others about these
διὰ τίν' αἰτίαν ὅμοια καὶ ἀνόμοια γίγνεται τοῖς γονεῦσιν.
because-of what cause like and unlike come-to-be to-the parents
Δύο δὴ τρόπους λέγουσι τῆς αἰτίας. Ἔνιοι μὲν γάρ φασιν,
Two indeed ways they-tell of-the cause Some indeed for say
ἀφ' ὁποτέρου ἂν ἔλθῃ σπέρμα πλέον, τούτῳ γίγνεσθαι
from whichever — come seed more to-this to-become
μᾶλλον ἐοικός, ὁμοίως παντί τε πᾶν καὶ μέρει μέρος, ὡς
more resembling likewise to-whole both whole and to-part part as
ἀπιόντος ἀφ' ἑκάστου τῶν μορίων σπέρματος· ἂν δ' ἴσον
departing from each of-the parts seed if but equal
ἔλθῃ ἀφ' ἑκατέρου, τοῦτο δ' οὐδετέρῳ γίγνεσθαι ὅμοιον. Εἰ
come from each this and to-neither to-become like If
δὲ τοῦτ' ἐστὶ ψεῦδος καὶ μὴ ἀπὸ παντὸς ἀπέρχεται, δῆλον
but this is false and not from all it-departs clear
ὡς οὐδὲ τῆς ὁμοιότητος καὶ ἀνομοιότητος αἴτιον ἂν εἴη
that not-even of-the likeness and unlikeness cause — would-be
τὸ λεχθέν. Ἔτι δὲ πῶς ἅμα θῆλυ μὲν πατρὶ ἐοικὸς
the said Further and how together female indeed father resembling

ἄρρεν δὲ μητρὶ ἐοικός, οὐκ εὐπόρως δύνανται διορίζειν. Οἱ
male and mother resembling not easily they-can to-distinguish Those
μὲν γὰρ ὥσπερ Ἐμπεδοκλῆς λέγοντες ἢ Δημόκριτος περὶ
indeed for just-as Empedocles saying or Democritus about
τοῦ θήλεος καὶ ἄρρενος τὴν αἰτίαν ἄλλον τρόπον ἀδύνατα
the female and male the cause other way impossibilities
λέγουσιν· οἱ δὲ τῷ πλεῖον ἢ ἔλαττον ἀπιέναι ἀπὸ τοῦ
say those but by-the more or less to-depart from the
ἄρρενος ἢ θήλεος, καὶ διὰ τοῦτο γίγνεσθαι τὸ μὲν
male or female and because-of this to-come-to-be the-one indeed
θῆλυ τὸ δ' ἄρρεν, οὐκ ἂν ἔχοιεν ἀποδεῖξαι τίνα
female the-other and male not — would-be-able to-show what
τρόπον τό τε θῆλυ τῷ πατρὶ ἐοικὸς ἔσται καὶ τὸ ἄρρεν
way the both female the father resembling will-be and the male
τῇ μητρί· ἅμα γὰρ ἐλθεῖν πλέον ἀπ' ἀμφοτέρων ἀδύνατον.
the mother together for to-come more from both impossible
Ἔτι δὲ διὰ τίν' αἰτίαν ἐοικὸς γίνεται τοῖς προγόνοις
Further and because-of what cause resembling it-becomes the ancestors
ὡς ἐπὶ τὸ πολὺ καὶ τοῖς ἄποθεν; οὐ γὰρ ἀπ' ἐκείνων γ'
as for the most-part and the remote-ones not for from those at-least
ἀπελήλυθεν οὐθὲν τοῦ σπέρματος. Ἀλλὰ μᾶλλον οἱ τὸν
has-departed anything of-the seed But rather those the
λειπόμενον τρόπον λέγοντες περὶ τῆς ὁμοιότητος καὶ τἆλλα
remaining way telling about the likeness both the-rest
βέλτιον καὶ τοῦτο λέγουσιν. Εἰσὶ γάρ τινες οἵ φασι τὴν
better and this tell There-are for some who say the
γονὴν μίαν οὖσαν οἷον πανσπερμίαν εἶναί τινα πολλῶν·
semen one being as-it-were a-mixture-of-all-seeds to-be some of-many
ὥσπερ οὖν εἴ τις κεράσειε πολλοὺς χυμοὺς εἰς ἓν ὑγρόν,
just-as then if someone should-mix many juices into one moist
κἄπειτ' ἐντεῦθεν λαμβάνοι, καὶ δύναιτ' ἂν λαμβάνειν μὴ
and-then from-there should-take and could — to-take not

ἴσον ἀεὶ ἀφ' ἑκάστου, ἀλλ' ὁτὲ μὲν τοῦ τοιοῦδε πλέον
equal always from each but at-times indeed of-the such more
ὁτὲ δὲ τοῦ τοιοῦδε, ὁτὲ δὲ τοῦ μὲν λαβεῖν τοῦ
at-times and of-the such at-times but of-the-one indeed to-take of-the-other
δὲ μηθὲν λαβεῖν, τοῦτο συμβαίνειν καὶ ἐπὶ τῆς γονῆς
and nothing to-take this to-happen also in-the-case-of the semen
πολυμιγοῦς οὔσης· ἀφ' οὗ γὰρ ἂν τῶν γεννώντων
many-mixed being from whichever for — of-the generators
πλεῖστον ἐγγένηται, τούτῳ γίνεσθαι τὴν μορφὴν ἐοικός.
most be-in to-this to-become the shape resembling
Οὗτος δὲ ὁ λόγος οὐ σαφὴς μὲν καὶ πλασματίας ἐστὶ
This and the account not clear indeed and fictitious is
πολλαχῇ, βούλεται δὲ καὶ βέλτιον λέγειν μὴ ἐνεργείᾳ
in-many-ways wishes and also better to-say not in-actuality
ὑπάρχειν, ἀλλὰ κατὰ δύναμιν, ἣν λέγει πανσπερμίαν·
to-belong but according-to potentiality what he-calls mixture-of-all-seeds
ἐκείνως μὲν γὰρ ἀδύνατον, οὕτως δὲ δυνατόν· οὐ ῥᾴδιον
in-that-way indeed for impossible so but possible not easy
δὲ οὐδὲ τρόπον ἕνα τῆς αἰτίας ἀποδιδόντας τὰς αἰτίας
and even way one of-the cause giving the causes
εἰπεῖν περὶ πάντων, τοῦ τε γίνεσθαι θῆλυ καὶ ἄρρεν, καὶ
to-tell about all of-the both to-come-to-be female and male and
διὰ τί τὸ μὲν θῆλυ τῷ πατρὶ πολλάκις ὅμοιον τὸ
because-of what the indeed female the father often like the
δ' ἄρρεν τῇ μητρί, καὶ πάλιν τῆς πρὸς τοὺς προγόνους
and male the mother and again of-the to the ancestors
ὁμοιότητος, ἔτι δὲ διὰ τίν' αἰτίαν ὁτὲ μὲν ἄνθρωπος
likeness further and because-of what cause at-times indeed human
μὲν τούτων δ' οὐθενὶ προσόμοιος, ὁτὲ δὲ προϊὸν οὕτως
indeed of-these but to-none resembling at-times and proceeding so

τέλος οὐδὲ ἄνθρωπος ἀλλὰ ζῳόν τι μόνον φαίνεται τὸ
finally not-even human but animal some only appears the
γιγνόμενον, ἃ δὴ καὶ λέγεται τέρατα.
coming-to-be which indeed also are-called monsters
Καὶ γὰρ ἐχόμενον τῶν εἰρημένων ἐστὶν εἰπεῖν περὶ τῶν
And for adjoining to-the said it-is to-tell about the
τοιούτων τὰς αἰτίας. Τέλος γὰρ τῶν μὲν κινήσεων
such the causes Finally for the indeed motions
λυομένων, τῆς δ' ὕλης οὐ κρατουμένης, μένει τὸ καθόλου
being-relaxed the and matter not being-mastered remains the universal
μάλιστα· τοῦτο δ' ἐστὶ τὸ ζῷον. Τὸ δὲ γιγνόμενον κριοῦ
most this and is the animal The and coming-to-be of-ram
κεφαλήν φασιν ἢ βοὸς ἔχειν, καὶ ἐν τοῖς ἄλλοις ὁμοίως
head they-say or of-ox to-have and in the others likewise
ἑτέρου ζῴου, μόσχον παιδὸς κεφαλὴν ἢ πρόβατον βοός.
of-another animal a-calf of-child head or a-sheep of-ox
Ταῦτα δὲ πάντα συμβαίνει μὲν διὰ τὰς προειρημένας
These and all happen indeed because-of the before-mentioned
αἰτίας, ἔστι δ' οὐθὲν ὧν λέγουσιν, ἀλλ' ἐοικότα μόνον·
causes is but none of-what they-say but resembling only
ὅπερ γίγνεται καὶ μὴ πεπηρωμένων, διὸ πολλάκις οἱ
which-very comes-about also not being-maimed wherefore often those
σκώπτοντες εἰκάζουσι τῶν μὴ καλῶν ἐνίους τοὺς μὲν αἰγὶ
mocking liken of-the not handsome some the-ones indeed to-a-goat
φυσῶντι πῦρ, τοὺς δ' οἷς κυρίττοντι. Φυσιογνώμων δέ
blowing fire the-others and to-a-ram butting A-physiognomist and
τις ἀνῆγε πάσας εἰς δύο ζῴων ἢ τριῶν ὄψεις, καὶ συνέπειθε
some referred all to two animals or three faces and persuaded
πολλάκις λέγων. Ὅτι δ' ἐστὶν ἀδύνατον γίγνεσθαι τέρας
often saying That and it-is impossible to-come-to-be monster
τοιοῦτον, ἕτερον ἐν ἑτέρῳ ζῷον, δηλοῦσιν οἱ χρόνοι
such other in other animal show the times

τῆς κυήσεως πολὺ διαφέροντες ἀνθρώπου καὶ προβάτου
of-the gestation much differing of-human and of-sheep
καὶ κυνὸς καὶ βοός· ἀδύνατον δ' ἕκαστον γενέσθαι μὴ
and of-dog and of-ox impossible and each to-come-to-be not
κατὰ τοὺς οἰκείους χρόνους. Τὰ μὲν οὖν τοῦτον τὸν
according-to the own times The-ones indeed then this the
τρόπον λέγεται τῶν τεράτων, τὰ δὲ τῷ πολυμερῆ
way are-called of-the monsters the-others and by-the many-parted
τὴν μορφὴν ἔχειν, πολύποδα καὶ πολυκέφαλα γινόμενα.
the shape to-have many-footed and many-headed coming-to-be
Πάρεγγυς δ' οἱ λόγοι τῆς αἰτίας καὶ παραπλήσιοι τρόπον
Near and the accounts of-the cause and similar in-a-way
τινά εἰσιν οἵ τε περὶ τῶν τεράτων καὶ οἱ περὶ τῶν
some are the both about the monsters and the about the
ἀναπήρων ζῴων· καὶ γὰρ τὸ τέρας ἀναπηρία τις ἐστίν.
maimed animals and for the monster deformity some is

IV · MONSTERS AND MULTIPLE BIRTHS

Democritus blamed two semens falling together; the cause is rather in the matter, so monsters are commonest in hens, whose close fetuses give double chicks when the yolks are not separated. The monstrous is against what holds for the most part. An animal's size and its brood are inversely related, more seed adds no size, and man alone varies in his gestation times. Extra or missing parts and twins come from more or less matter, as eddies split in a river; one heart means one animal, and some ducts grow shut.

Δημόκριτος μὲν οὖν ἔφησε γίγνεσθαι τὰ τέρατα διὰ
Democritus indeed then said to-come-to-be the monsters because-of
τὸ δύο γονὰς πίπτειν, τὴν μὲν πρότερον ὁρμήσασαν
the two semens to-fall the-one indeed earlier having-rushed

τὴν δ' ὕστερον, καὶ ταύτην ἐξελθοῦσαν ἐλθεῖν εἰς τὴν
the-other and later and this having-gone-out to-come into the
ὑστέραν ὥστε συμφύεσθαι καὶ ἐπαλλάττειν τὰ μόρια. Ταῖς
uterus so-that to-grow-together and to-overlap the parts In-the
δ' ὄρνισιν ἐπεὶ συμβαίνει ταχεῖαν γίνεσθαι τὴν ὀχείαν,
and birds since it-happens quick to-come-about the copulation
ἀεὶ τά τ' ᾠὰ καὶ τὴν χρόαν αὐτῶν ἐπαλλάττειν φησίν.
always the both eggs and the color of-them to-overlap he-says
Εἰ δὲ συμβαίνει ἐξ ἑνὸς σπέρματος πλείω γίνεσθαι
If but it-happens from one seed more to-come-to-be
καὶ μιᾶς συνουσίας, ὅπερ φαίνεται, βέλτιον μὴ κύκλῳ
and one intercourse which-very appears better not in-a-circle
περιέναι παρέντας τὴν σύντομον. Τοῖς γὰρ τοιούτοις
to-go-around having-passed-by the short-cut In-the for such
μάλιστ' ἀναγκαῖον τοῦτο συμβαίνειν, ὅταν μὴ διακριθῶσιν
most necessary this to-happen when not they-be-separated
ἀλλ' ἅμα τὰ σπέρματα ἔλθωσιν. Εἰ μὲν οὖν αἰτιάσασθαι
but together the seeds come If indeed then to-blame
δεῖ τὴν ἀπὸ τοῦ ἄρρενος γονήν, τοῦτον ἂν τὸν τρόπον
one-must the from the male semen this — the way
εἴη λεκτέον· ὅλως δὲ μᾶλλον τὴν αἰτίαν οἰητέον ἐν
would-be must-be-said generally but rather the cause one-must-think in
τῇ ὕλῃ καὶ τοῖς συνισταμένοις κυήμασιν εἶναι. Διὸ καὶ
the matter and the being-constituted fetuses to-be Wherefore also
γίνονται τὰ τοιαῦτα τῶν τεράτων ἐν μὲν τοῖς μονοτόκοις
come-to-be the such of-the monsters in indeed the single-bearing
σπάνια πάμπαν, ἐν δὲ τοῖς πολυτόκοις μᾶλλον, καὶ
rare altogether in but the many-bearing more and
μάλιστ' ἐν ὄρνισι, τῶν δ' ὀρνίθων ἐν ταῖς ἀλεκτορίσιν.
most in birds of-the and birds in the hens

Αὗται γὰρ πολυτοκοῦσιν, οὐ μόνον τῷ πολλάκις τίκτειν
These for bear-many not only by-the often to-lay
ὥσπερ τὸ τῶν περιστερῶν γένος, ἀλλὰ καὶ τῷ πολλὰ ἅμα
just-as the of-the pigeons kind but also by-the many together
ἔχειν κυήματα καὶ πᾶσαν ὥραν ὀχεύεσθαι. Διόπερ καὶ πολλὰ
to-have fetuses and every season to-be-mounted Wherefore also many
δίδυμα τίκτουσιν· συμφύεται γὰρ διὰ τὸ πλησίον ἀλλήλων
twins they-lay grow-together for because-of the near one-another
εἶναι τὰ κυήματα, καθάπερ ἐνίοτε πολλὰ τῶν περικαρπίων,
to-be the fetuses just-as sometimes many of-the fruits
τούτων δὲ ὅσων μὲν ἂν αἱ λέκιθοι διορίζωνται κατὰ τὸν
of-these and as-many indeed — the yolks be-distinguished by the
ὑμένα, δύο γίνονται νεοττοὶ κεχωρισμένοι, περιττὸν οὐδὲν
membrane two become chicks separated extra nothing
ἔχοντες· ὅσων δὲ συνεχεῖς καὶ μὴ διείργει μηθέν, ἐκ τούτων
having as-many but continuous and not separates anything from these
οἱ νεοττοὶ γίνονται τερατώδεις, σῶμα μὲν καὶ κεφαλὴν μίαν
the chicks become monstrous body indeed and head one
ἔχοντες, σκέλη δὲ τέτταρα καὶ πτέρυγας διὰ τὸ τὰ μὲν
having legs but four and wings because-of the the indeed
ἄνωθεν ἐκ τοῦ λευκοῦ γίνεσθαι καὶ πρότερον, ταμιευομένης
upper from the white to-come-to-be and earlier being-dispensed
ἐκ τῆς λεκίθου τῆς τροφῆς αὐτοῖς, τὸ δὲ κάτω μόριον
from the yolk the nourishment to-them the but lower part
ὑστερίζειν μέν, τὴν δὲ τροφὴν εἶναι μίαν καὶ ἀδιόριστον.
to-come-later indeed the but nourishment to-be one and undistinguished
Ἤδη δὲ καὶ ὄφις ὤπται δικέφαλος διὰ τὴν αὐτὴν
Already and also snake has-been-seen two-headed because-of the same
αἰτίαν· ᾠοτοκεῖ γὰρ καὶ πολυτοκεῖ καὶ τοῦτο τὸ γένος.
cause it-lays-eggs for and bears-many also this the kind

Σπανιώτερον δὲ τὸ τερατῶδες ἐπ᾽ αὐτῶν διὰ τὸ
Rarer and the monstrous in-the-case-of them because-of the
σχῆμα τῆς ὑστέρας· στοιχηδὸν γὰρ κεῖται τὸ πλῆθος τῶν
shape of-the uterus in-a-row for lies the multitude of-the
ᾠῶν διὰ τὸ μῆκος αὐτῆς. Καὶ περὶ τὰς μελίττας καὶ
eggs because-of the length of-it And about the bees and
τοὺς σφῆκας οὐδὲν γίνεται τοιοῦτον· ἐν κεχωρισμένοις γὰρ
the wasps nothing comes-to-be such in separated for
κυτταρίοις ὁ τόκος ἐστὶν αὐτῶν. Περὶ δὲ τὰς ἀλεκτορίδας
cells the birth is of-them About but the hens
τοὐναντίον συμβέβηκεν, ᾗ καὶ δῆλον ὡς ἐν τῇ ὕλῃ τὴν
the-opposite has-happened by-which also clear that in the matter the
αἰτίαν δεῖ νομίζειν τῶν τοιούτων· καὶ γὰρ τῶν ἄλλων
cause one-must to-think of-the such and for of-the others
ἐν τοῖς πολυτόκοις μᾶλλον. Διὸ ἐν ἀνθρώπῳ ἧττον·
in the many-bearing more Wherefore in human less
ὡς γὰρ ἐπὶ τὸ πολὺ μονοτόκον ἐστὶ καὶ τελειογόνον,
as for for the most-part single-bearing it-is and perfect-bearing
ἐπεὶ καὶ τούτων ἐν οἷς τόποις πολύγονοι αἱ γυναῖκές εἰσι,
since also of-these in what places prolific the women are
τοῦτο συμβαίνει μᾶλλον, οἷον περὶ Αἴγυπτον. Ἐν δὲ ταῖς
this happens more such-as about Egypt In and the
αἰξὶ καὶ τοῖς προβάτοις γίνεται μᾶλλον· πολυτοκώτερα
goats and the sheep it-comes-to-be more more-many-bearing
γάρ ἐστιν. Ἔτι δὲ μᾶλλον ἐν τοῖς πολυσχιδέσιν· ἔστι
for they-are Further and more in the many-toed are
γὰρ τὰ τοιαῦτα πολυτόκα τῶν ζῴων καὶ οὐ τελειογόνα,
for the such many-bearing of-the animals and not perfect-bearing
καθάπερ ἡ κύων· τὰ γὰρ πολλὰ τίκτει τυφλὰ τούτων.
just-as the bitch the for many bears blind of-these

Δι᾽ ἣν δ᾽ αἰτίαν τοῦτο συμβαίνει καὶ δι᾽ ἣν αἰτίαν
Because-of which and cause this happens and because-of which cause
πολυτοκοῦσιν, ὕστερον λεκτέον. Ἀλλὰ προωδοποίηται τῇ
they-bear-many later must-be-said But a-way-has-been-prepared for-the
φύσει πρὸς τὸ τερατοτοκεῖν τὸ μὴ γεννᾶν ὅμοια διὰ
nature toward the to-bear-monsters the not to-generate like because-of
τὴν ἀτέλειαν· ἔστι δὲ καὶ τὸ τέρας τῶν ἀνομοίων.
the incompleteness is and also the monster of-the unlike
Διόπερ ἐπαλλάττει τοῦτο τὸ σύμπτωμα τοῖς τοιούτοις
Wherefore overlaps this the accident with-the such
τὴν φύσιν. Ἐν γὰρ τούτοις μάλιστα γίνεται καὶ τὰ
in-the nature In for these most come-to-be also the
μετάχοιρα καλούμενα. Ταῦτα δ᾽ ἐστὶ κατά τι
runts so-called These and are in some-respect
πεπονθότα τερατῶδες· τὸ γὰρ ἐκλείπειν ἢ προσεῖναί
having-suffered monstrous the for to-be-lacking or to-be-in-addition
τι τερατῶδες. Ἔστι γὰρ τὸ τέρας τῶν παρὰ φύσιν
something monstrous Is for the monster of-the against nature
τι, παρὰ φύσιν δ᾽ οὐ πᾶσαν ἀλλὰ τὴν ὡς ἐπὶ τὸ πολύ·
something against nature but not all but the as for the most-part
περὶ γὰρ τὴν ἀεὶ καὶ τὴν ἐξ ἀνάγκης οὐθὲν γίνεται
about for the always and the from necessity nothing comes-to-be
παρὰ φύσιν, ἀλλ᾽ ἐν τοῖς ὡς ἐπὶ τὸ πολὺ μὲν οὕτω
against nature but in the as for the most-part indeed so
γινομένοις, ἐνδεχομένοις δὲ καὶ ἄλλως, ἐπεὶ καὶ τούτων
coming-to-be being-possible and also otherwise since also of-these
ἐν ὅσοις συμβαίνει παρὰ τὴν τάξιν μὲν ταύτην, ἀεὶ
in as-many-as it-happens against the order indeed this always
μέντοι μὴ τυχόντως, ἧττον εἶναι δοκεῖ τέρας διὰ τὸ καὶ
however not by-chance less to-be seems monster because-of the also

τὸ παρὰ φύσιν εἶναι τρόπον τινὰ κατὰ φύσιν, ὅταν μὴ
the against nature to-be in-a-way some according-to nature when not
κρατήσῃ τὴν κατὰ τὴν ὕλην ἡ κατὰ τὸ εἶδος φύσις.
prevail the according-to the matter the according-to the form nature
Διόπερ οὔτε τὰ τοιαῦτα τέρατα λέγουσιν, οὔτ' ἐν τοῖς
Wherefore neither the such monsters they-call nor in the
ἄλλοις ἐν ὅσοις εἴωθέ τι γίνεσθαι, καθάπερ ἐν τοῖς
others in as-many-as is-wont something to-come-to-be just-as in the
περικαρπίοις. Ἔστι γάρ τις ἄμπελος ἣν καλοῦσί τινες
fruits There-is for some vine which call some
κάπνεον, ἥν, ἂν ἐνέγκῃ μέλανας βότρυς, οὐ κρίνουσι
smoky which if it-bear black grapes not they-judge
τέρας διὰ τὸ πλειστάκις εἰωθέναι ταύτην τοῦτο ποιεῖν.
monster because-of the most-often to-be-wont this this to-do
Αἴτιον δ' ὅτι μεταξὺ λευκῆς ἐστὶ τὴν φύσιν καὶ μελαίνης,
Cause and that between white it-is in-the nature and black
ὥστ' οὐ πόρρωθεν ἡ μετάβασις οὐδ' ὡσπερανεὶ παρὰ
so-that not from-afar the change nor as-it-were against
φύσιν· οὐ γὰρ εἰς ἄλλην φύσιν. Ἐν δὲ τοῖς πολυτόκοις
nature not for into other nature In and the many-bearing
ταὐτά τε συμβαίνει, καὶ διὰ τὴν πολυτοκίαν
the-same-things both happen and because-of the many-bearing
ἐμποδίζειν τὰς τελειώσεις ἀλλήλων καὶ τὰς κινήσεις τὰς
to-hinder the completions of-one-another and the motions the
γεννητικάς. Περὶ δὲ τῆς πολυτοκίας καὶ τοῦ πλεονασμοῦ
generative About and the many-bearing and the excess
τοῦ τῶν μερῶν, καὶ τῆς ὀλιγοτοκίας καὶ μονοτοκίας καὶ
the of-the parts and the few-bearing and single-bearing and
τῆς ἐνδείας τῶν μερῶν, ἀπορήσειεν ἄν τις. Γίνεται γὰρ
the lack of-the parts would-be-puzzled — someone Come-to-be for
ἐνίοτε τὰ μὲν πλείους ἔχοντα δακτύλους, τὰ δ'
sometimes the-ones indeed more having fingers the-others and

ἕνα μόνον, καὶ περὶ τὰ ἄλλα μέρη τὸν αὐτὸν τρόπον·
one only and about the other parts the same way
καὶ γὰρ πλεονάζει καὶ κολοβὰ γίνεται, τὰ δὲ καὶ δύο
and for it-exceeds and stunted become the-ones and also two
ἔχοντα αἰδοῖα, τὸ μὲν ἄρρενος τὸ δὲ θήλεος, καὶ
having genitals the-one indeed of-male the-other and of-female both
ἐν ἀνθρώποις καὶ μάλιστα περὶ τὰς αἶγας.
in humans and most about the goats
Γίνονται γὰρ ἃς καλοῦσι τραγαίνας διὰ τὸ θήλεος καὶ
Come-to-be for which they-call he-goat-females because-of the of-female and
ἄρρενος ἔχειν αἰδοῖον· ἤδη δὲ καὶ κέρας αἴξ ἔχουσα ἐγένετο
of-male to-have genital already and also horn goat having was-born
πρὸς τῷ σκέλει. Γίνονται δὲ μεταβολαὶ καὶ πηρώσεις καὶ
at the leg Come-to-be and changes and maimings also
περὶ τὰ ἐντὸς μόρια, τῷ ἢ μὴ ἔχειν ἔνια ἢ κεκολοβωμένα
about the inner parts by-the either not to-have some or stunted
ἔχειν καὶ πλείω καὶ μεθεστῶτα τοὺς τόπους. Καρδίαν μὲν
to-have and more and shifted the places Heart indeed
οὖν οὐθὲν πώποτε ἐγένετο ζῷον οὐκ ἔχον, σπλῆνα δ' οὐκ
then no ever was-born animal not having spleen but not
ἔχον, καὶ δύο ἔχον, καὶ νεφρὸν ἕνα· ἧπαρ δ' οὐκ ἔχον μὲν
having and two having and kidney one liver but not having indeed
οὐθέν, οὐχ ὅλον δὲ ἔχον. Ταῦτα δὲ πάντα ἐν τοῖς τελειωθεῖσι
none not whole but having These and all in the completed
καὶ ζῶσιν. Εὑρίσκεται καὶ χολὴν οὐκ ἔχοντα, πεφυκότα
and living Are-found and bile not having being-natural
ἔχειν· τὰ δὲ πλείους ἔχοντα μιᾶς. Ἤδη δ' ἐγένετο καὶ
to-have the-others and more having than-one Already and came-about also
μεθεστηκότα κατὰ τόπον, τὸ μὲν ἧπαρ ἐν τοῖς ἀριστεροῖς,
shifted in place the indeed liver in the left
ὁ δὲ σπλὴν ἐν τοῖς δεξιοῖς. Καὶ ταῦτα μὲν ἔν γε
the and spleen in the right And these indeed in at-least

τετελεσμένοις ὥπται τοῖς ζῴοις, ὥσπερ εἴρηται· ἐν δὲ
completed have-been-seen the animals just-as has-been-said in but
τοῖς τικτομένοις ἔχοντα πολλὴν καὶ παντοδαπὴν ταραχήν.
the being-born having much and of-every-kind confusion
Τὰ μὲν οὖν μικρὸν παρεκβαίνοντα τὴν φύσιν ζῆν
The-ones indeed then little departing-from the nature to-live
εἴωθεν, τὰ δὲ πλεῖον οὐ ζῆν, ὅταν ἐν τοῖς κυρίοις τοῦ ζῆν
are-wont the but more not to-live when in the sovereign of-the to-live
γένηται τὸ παρὰ φύσιν. Ἡ δὲ σκέψις ἐστὶν ἡ περὶ τούτων,
come-to-be the against nature The and inquiry is the about these
πότερον τὴν αὐτὴν αἰτίαν δεῖ νομίζειν τῆς μονοτοκίας
whether the same cause one-must to-think of-the single-bearing
καὶ τῆς ἐνδείας τῶν μερῶν καὶ τοῦ πλεονασμοῦ καὶ τῆς
and of-the lack of-the parts and of-the excess and of-the
πολυτοκίας ἢ μὴ τὴν αὐτήν. Πρῶτον μὲν οὖν διὰ τί
many-bearing or not the same First indeed then because-of what
τὰ μέν ἐστι πολυτόκα τὰ δὲ μονοτόκα, τοῦτ' ἄν
the-ones indeed are many-bearing the-others and single-bearing this —
τις δόξειεν εὐλόγως θαυμάζειν. Τὰ γὰρ μέγιστα μονοτόκα
someone would-think reasonably to-wonder The for largest single-bearing
τῶν ζῴων ἐστίν, οἷον ἐλέφας κάμηλος ἵππος καὶ τὰ
of-the animals are such-as elephant camel horse and the
μώνυχα· τούτων δὲ τὰ μὲν μείζω τῶν ἄλλων, τὰ
solid-hoofed of-these and the-ones indeed larger than-the others the-others
δὲ πολὺ διαφέρει κατὰ τὸ μέγεθος. Κύων δὲ καὶ λύκος
and much differ in the size Dog and and wolf
καὶ τὰ πολυσχιδῆ πάντα πολυτόκα σχεδόν, καὶ τὰ μικρὰ
and the many-toed all many-bearing nearly and the small
τῶν τοιούτων, οἷον τὸ τῶν μυῶν γένος. Τὰ δὲ διχηλὰ
of-the such such-as the of-the mice kind The but cloven-hoofed
ὀλιγοτόκα πλὴν ὑός· αὕτη δὲ τῶν πολυτόκων ἐστίν.
few-bearing except sow this and of-the many-bearing is

Εὔλογον γὰρ τὰ μὲν μεγάλα πλείω δύνασθαι γεννᾶν καὶ
Reasonable for the indeed large more to-be-able to-generate and
σπέρμα φέρειν πλεῖον. Αἴτιον δ' αὐτὸ τὸ θαυμαζόμενον τοῦ
seed to-bear more Cause but itself the being-wondered-at of-the
μὴ θαυμάζειν· διὰ γὰρ τὸ μέγεθος οὐ πολυτοκοῦσιν· ἡ
not to-wonder because-of for the size not they-bear-many the
γὰρ τροφὴ καταναλίσκεται τοῖς τοιούτοις εἰς τὴν αὔξησιν
for nourishment is-used-up in-the such for the growth
τοῦ σώματος. Τοῖς δ' ἐλάττοσιν ἀπὸ τοῦ μεγέθους
of-the body For-the and smaller from the size
ἡ φύσις ἀφαιροῦσα πρὸς τὸ περίττωμα προστίθησι
the nature taking-away to the residue adds
τὸ σπερματικὸν τὴν ὑπεροχήν. Ἔτι δὲ τὸ γεννῆσαν
the seminal the excess Further and the having-generated
σπέρμα πλεῖον μὲν τὸ τοῦ μείζονος ἀναγκαῖον εἶναι,
seed more indeed the of-the larger necessary to-be
μικρὸν δὲ τὸ τῶν ἐλαττόνων. Πολλὰ μὲν οὖν καὶ μικρὰ
small but the of-the smaller Many indeed then and small
γένοιτ' ἂν ἐν ταὐτῷ, μεγάλα δὲ πολλὰ χαλεπόν· τοῖς
could-come-to-be — in the-same large but many hard to-the
δὲ μέσοις μεγέθεσι τὸ μέσον ἀπέδωκεν ἡ φύσις. Τοῦ μὲν
but middle sizes the middle gave the nature Of-the indeed
οὖν τὰ μὲν εἶναι μεγάλα τῶν ζῴων τὰ δ' ἐλάττω
then the-ones indeed to-be large of-the animals the-others and smaller
τὰ δὲ μέσα πρότερον εἰρήκαμεν τὴν αἰτίαν· μονοτόκα
the-others and middle earlier we-have-stated the cause single-bearing
δέ, τὰ δ' ὀλιγοτόκα, τὰ δὲ πολυτόκα τῶν ζῴων
and the-others and few-bearing the-others and many-bearing of-the animals
ἐστὶν ὡς μὲν ἐπὶ τὸ πολὺ τὰ μὲν μώνυχα μονοτόκα,
are as indeed for the most-part the indeed solid-hoofed single-bearing
τὰ δὲ διχηλὰ ὀλιγοτόκα, τὰ δὲ πολυσχιδῆ πολυτόκα.
the but cloven-hoofed few-bearing the but many-toed many-bearing

Τούτου δ' αἴτιον ὅτι ὡς ἐπὶ τὸ πολὺ τὰ μεγέθη
Of-this and cause that as for the most-part the sizes
διώρισται κατὰ τὰς διαφορὰς ταύτας. Οὐ μὴν ἔχει
are-distinguished according-to the differences these Not truly it-is
γ' οὕτως ἐπὶ πάντων· αἴτιον γὰρ μέγεθος καὶ
at-least so in-the-case-of all cause for size and
μικρότης τῶν σωμάτων τῆς ὀλιγοτοκίας καὶ πολυτοκίας,
smallness of-the bodies of-the few-bearing and many-bearing
ἀλλ' οὐ τὸ μώνυχον ἢ πολυσχιδὲς ἢ διχηλὸν εἶναι τὸ
but not the solid-hoofed or many-toed or cloven-hoofed to-be the
γένος. Τούτου δὲ μαρτύριον· ὁ γὰρ ἐλέφας μέγιστον τῶν
kind Of-this and witness the for elephant largest of-the
ζῴων, ἔστι δὲ πολυσχιδές, ἥ τε κάμηλος διχηλὸν τῶν
animals is but many-toed the both camel cloven-hoofed of-the
λοιπῶν μέγιστον ὄν. Οὐ μόνον δ' ἐν τοῖς πεζοῖς ἀλλὰ
remaining largest being Not only and in the land but
καὶ ἐν τοῖς πτηνοῖς καὶ ἐν τοῖς πλωτοῖς τὰ μὲν μεγάλα
also in the winged and in the swimming the indeed large
ὀλιγοτόκα ἐστὶ τὰ δὲ μικρὰ πολυτόκα, διὰ τὴν αὐτὴν
few-bearing are the but small many-bearing because-of the same
αἰτίαν. Ὁμοίως δὲ καὶ τῶν φυτῶν οὐ τὰ μέγιστα φέρει
cause Likewise and also of-the plants not the largest bear
πλεῖστον καρπόν. Διὰ τί μὲν οὖν τῶν ζῴων τὰ μὲν
most fruit Because-of what indeed then of-the animals the-ones indeed
πολυτόκα τὰ δ' ὀλιγοτόκα τὴν φύσιν ἐστίν, εἴρηται·
many-bearing the-others and few-bearing in-the nature are it-has-been-said
τῆς δὲ νῦν ῥηθείσης ἀπορίας μᾶλλον ἄν τις θαυμάσειεν
of-the but now stated puzzle more — someone would-wonder
ἐπὶ τῶν πολυτοκούντων, ἐπειδὴ φαίνεται πολλάκις
in-the-case-of the many-bearing since they-appear often
ἀπὸ μιᾶς ὀχείας κυϊσκόμενα τὰ τοιαῦτα τῶν ζῴων, τὸ
from one copulation conceiving the such of-the animals the

δὲ σπέρμα τὸ τοῦ ἄρρενος, εἴτε συμβάλλεται πρὸς τὴν
but seed the of-the male whether contributes toward the
ὕλην μόριον γινόμενον τοῦ κυήματος καὶ τῷ τοῦ θήλεος
matter part becoming of-the fetus and with-the of-the female
σπέρματι μιγνύμενον, εἴτε καὶ μὴ τοῦτον τὸν τρόπον,
seed being-mixed or-whether also not this the way
ἀλλ' ὥσπερ φαμὲν συνάγον καὶ δημιουργοῦν τὴν ὕλην τὴν
but just-as we-say gathering and crafting the matter the
ἐν τῷ θήλει καὶ τὸ περίττωμα τὸ σπερματικόν, καθάπερ
in the female and the residue the seminal just-as
ὁ ὀπὸς τὴν ὑγρότητα τοῦ γάλακτος, διὰ τίνα ποτ'
the fig-juice the moisture of-the milk because-of what ever
αἰτίαν οὐχ ἓν ἀποτελεῖ ζῷον μέγεθος ἔχον;
cause not one completes animal size having
ὥσπερ ἐνταῦθα ὁ ὀπὸς οὐ κεχώρισται τῷ συνιστάναι ποσόν
just-as here the fig-juice not is-separated by-the to-constitute quantity
τι, ἀλλ' ὅσῳπερ ἂν εἰς πλεῖον ἔλθῃ καὶ πλείων, τοσούτῳ
some but by-as-much-as — into more it-come and more by-so-much
τὸ πηγνύμενόν ἐστι μεῖζον. Τὸ μὲν οὖν ἕλκειν φάναι τοὺς
the being-curdled is greater The indeed then to-draw to-say the
τόπους τῆς ὑστέρας τὸ σπέρμα, καὶ διὰ τοῦτο πλείω
places of-the uterus the seed and because-of this more
γίνεσθαι, διὰ τὸ τῶν τόπων πλῆθος καὶ τὰς κοτυληδόνας
to-come-to-be because-of the of-the places multitude and the cotyledons
οὐχ ἓν οὔσας, οὐθέν ἐστιν. Ἐν ταὐτῷ γὰρ γίνονται τόπῳ
not one being nothing is In the-same for come-to-be place
τῆς ὑστέρας δύο πολλάκις, ἐν δὲ τοῖς πολυτόκοις, ὅταν
of-the uterus two often in but the many-bearing when
πληρωθῇ τῶν ἐμβρύων, ἐφεξῆς κείμενα φαίνεται. Τοῦτο δὲ
it-be-filled of-the embryos in-a-row lying they-appear This and
δῆλον ἐκ τῶν ἀνατομῶν ἐστίν. Ἀλλ' ὥσπερ καὶ τελεουμένων
clear from the dissections is But just-as also being-completed

τῶν ζῴων ἔστιν ἑκάστου τι μέγεθος καὶ ἐπὶ τὸ μεῖζον
of-the animals there-is of-each some size both toward the greater
καὶ ἐπὶ τὸ ἔλαττον, ὧν οὔτ' ἂν μεῖζον γένοιτο
and toward the less than-which neither — greater would-come-to-be
οὔτ' ἔλαττον, ἀλλ' ἐν τῷ μεταξὺ διαστήματι τοῦ μεγέθους
nor less but in the intermediate interval of-the size
λαμβάνουσι πρὸς ἄλληλα τὴν ὑπεροχὴν καὶ τὴν ἔλλειψιν, καὶ
they-take toward one-another the excess and the deficiency and
γίνεται μείζων ὁ δ' ἐλάττων ἄνθρωπος καὶ τῶν ἄλλων
becomes greater the-other and smaller human and of-the other
ζῴων ὁτιοῦν, οὕτω καὶ ἐξ ἧς γίνεται ὕλης σπερματικῆς,
animals any so also from which comes-to-be matter seminal
οὐκ ἔστιν ἀόριστος οὔτ' ἐπὶ τὸ πλεῖον οὔτ' ἐπὶ τὸ
not is indefinite either toward the more or toward the
ἔλαττον, ὥστ' ἐξ ὁποσησοῦν γίνεσθαι τῷ πλήθει.
less so-that from any-amount-whatever to-come-to-be in-the quantity
Ὅσα οὖν τῶν ζῴων διὰ τὴν εἰρημένην αἰτίαν πλεῖον
As-many-as then of-the animals because-of the said cause more
προΐεται περίττωμα ἢ εἰς ἑνὸς ζῴου ἀρχήν, οὐκ ἐνδέχεται
emit residue than for of-one animal beginning not it-is-possible
ἐκ ταύτης ἓν γίνεσθαι πάσης, ἀλλὰ τοσαῦτα ὅσα τοῖς
from this one to-come-to-be all but so-many as by-the
μεγέθεσιν ὥρισται τοῖς ἱκνουμένοις. Οὐδὲ τὸ τοῦ ἄρρενος
sizes is-determined the fitting Nor the of-the male
σπέρμα ἢ ἡ δύναμις ἡ ἐν τῷ σπέρματι οὐθὲν συνίστησι
seed or the power the in the seed anything constitutes
πλέον ἢ ἔλαττον τοῦ πεφυκότος. Ὁμοίως τ' εἰ πλέον
more or less than-the natural Likewise and if more
σπέρμα ἀφίησι τὸ ἄρρεν ἢ δυνάμεις πλείους ἐν διαιρουμένῳ
seed emits the male or powers more in being-divided
τῷ σπέρματι, οὐθὲν ποιήσει μεῖζον τὸ πλεῖστον, ἀλλὰ
the seed nothing will-it-make greater the most but

καὶ τοὐναντίον διαφθερεῖ καταξηραῖνον. Οὐδὲ γὰρ τὸ πῦρ
also the-opposite it-will-destroy drying-up Not-even for the fire
θερμαίνει τὸ ὕδωρ μᾶλλον, ὅσῳπερ ἂν ᾖ πλέον, ἀλλ' ἔστιν
heats the water more by-as-much-as — it-be more but there-is
ὅρος τῆς θερμότητος, ἧς ὑπαρχούσης ἐὰν αὔξῃ τις τὸ
limit of-the heat which being-present if increase someone the
πῦρ, θερμὸν μὲν οὐκέτι γίνεται μᾶλλον, ἐξατμίζει δὲ μᾶλλον,
fire hot indeed no-longer becomes more evaporates but more
καὶ τέλος ἀφανίζεται καὶ γίνεται ξηρόν. Ἐπεὶ δὲ φαίνεται
and finally disappears and becomes dry Since and it-appears
συμμετρίας δεῖσθαί τινος πρὸς ἄλληλα τό τε περίττωμα
proportion to-need some toward one-another the both residue
τὸ τοῦ θήλεος καὶ τὸ παρὰ τοῦ ἄρρενος, ὅσα προΐεται
the of-the female and the from the male as-many-as emit
σπέρμα τῶν ἀρρένων, τὰ πολυτόκα τῶν ζῴων εὐθὺς ἀφίησι
seed of-the males the many-bearing of-the animals at-once emit
τὸ μὲν ἄρρεν δυνάμενον πλείω συνιστάναι μεριζόμενον,
the indeed male able more to-constitute being-divided
τὸ δὲ θῆλυ τοσοῦτον ὥστε πλείους γίνεσθαι συστάσεις.
the but female so-much so-that more to-come-to-be constitutions
Τὸ δ' ἐπὶ τοῦ γάλακτος παράδειγμα λεχθὲν οὐχ
The and in-the-case-of the milk example stated not
ὅμοιόν ἐστιν· ἡ μὲν γὰρ τοῦ σπέρματος θερμότης οὐ μόνον
like is the indeed for of-the seed heat not only
συνίστησι ποσὸν ἀλλὰ καὶ ποιόν τι, ἡ δ' ἐν τῷ ὀπῷ καὶ
constitutes quantity but also quality some the but in the fig-juice and
τῇ πυετίᾳ τὸ ποσὸν μόνον. Τοῦ μὲν οὖν πολλὰ γίνεσθαι τὰ
the rennet the quantity only Of-the indeed then many to-come-to-be the
κυήματα καὶ μὴ συνεχὲς ἓν ἐκ πάντων ἐν τοῖς πολυτόκοις
fetuses and not continuous one from all in the many-bearing
τοῦτ' αὐτὸ αἴτιον, ὅτι οὐκ ἐξ ὁποσουοῦν γίνεται
this itself cause that not from any-amount-whatever comes-to-be

κύημα, ἀλλ᾽ ἐάν τε ὀλίγον ᾖ, οὐκ ἔσται, ἐάν τε πολὺ
fetus but if both little it-be not it-will-be if both much
λίαν· ὥρισται γὰρ ἡ δύναμις καὶ τοῦ πάσχοντος καὶ τῆς
too is-determined for the power both of-the being-acted-upon and of-the
θερμότητος τῆς ποιούσης. Ὁμοίως δὲ καὶ ἐν τοῖς μονοτόκοις
heat the acting Likewise and also in the single-bearing
καὶ μεγάλοις τῶν ζῴων οὐ πολλὰ γίγνεται ἐκ πολλοῦ
and large of-the animals not many come-to-be from much
περιττώματος· καὶ γὰρ ἐν ἐκείνοις ἐκ ποσοῦ τινὸς ποσόν τι
residue and for in those from quantity some quantity some
τὸ ἐργαζόμενόν ἐστιν. Οὐ προΐεται μὲν οὖν πλείω τοιαύτην
the being-worked is Not they-emit indeed then more such
ὕλην διὰ τὴν προειρημένην αἰτίαν· ἣν δὲ προΐεται,
matter because-of the before-stated cause which but they-emit
τοσαύτη κατὰ φύσιν ἐστὶν ἐξ ἧς ἓν γίνεται κύημα μόνον.
so-much by nature is from which one comes-to-be fetus only
Ἐὰν δέ ποτε πλεῖον ἔλθῃ, διτοκεῖ τότε. Διὸ καὶ δοκεῖ
If and ever more come it-bears-twins then Wherefore also seem
τερατώδη τὰ τοιαῦτ᾽ εἶναι μᾶλλον, ὅτι γίνεται παρὰ
monstrous the such to-be more because they-come-to-be against
τὸ ὡς ἐπὶ τὸ πολὺ καὶ τὸ εἰωθός. Ὁ δὲ ἄνθρωπος
the as for the most-part and the customary The but human
ἐπαμφοτερίζει πᾶσι τοῖς γένεσιν· καὶ γὰρ μονοτοκεῖ καὶ
goes-both-ways with-all the kinds and for it-bears-single and
πολυτοκεῖ καὶ ὀλιγοτοκεῖ ποτέ, μάλιστα δὲ μονοτόκον
bears-many and bears-few sometimes most but single-bearing
τὴν φύσιν ἐστί, διὰ μὲν τὴν ὑγρότητα τοῦ σώματος
in-the nature it-is because-of indeed the moisture of-the body
καὶ θερμότητα πολυτόκον (τοῦ γὰρ σπέρματος ἡ φύσις
and heat many-bearing of-the for seed the nature
ὑγρὰ καὶ θερμή), διὰ δὲ τὸ μέγεθος ὀλιγοτόκον καὶ
moist and hot because-of but the size few-bearing and

μονοτόκον. Διὰ δὲ τοῦτο καὶ τοὺς τῆς κυήσεως χρόνους
single-bearing Because-of and this also the of-the gestation times
μόνῳ τῶν ζῴων ἀνωμάλους εἶναι συμβέβηκεν. Τοῖς μὲν
alone of-the animals irregular to-be has-happened To-the indeed
γὰρ ἄλλοις εἷς ἐστὶν ὁ χρόνος, τοῖς δ' ἀνθρώποις πλείους·
for others one is the time to-the but humans more
καὶ γὰρ ἑπτάμηνα καὶ δεκάμηνα γεννῶνται καὶ κατὰ τοὺς
for both seven-months and ten-months are-born and at the
μεταξὺ χρόνους· καὶ γὰρ τὰ ὀκτάμηνα ζῇ μέν, ἧττον δέ.
intermediate times and for the eight-months live indeed less but
Τὸ δ' αἴτιον ἐκ τῶν νῦν λεχθέντων συνίδοι τις
The and cause from the now said would-see-together someone
ἄν, εἴρηται δὲ περὶ αὐτῶν ἐν τοῖς προβλήμασιν.
— it-has-been-said and about them in the problems
Καὶ περὶ μὲν τούτων διωρίσθω τὸν τρόπον τοῦτον·
And about indeed these let-it-be-determined the way this
τῶν δὲ πλεοναζόντων μορίων παρὰ φύσιν τὸ αὐτὸ αἴτιον
of-the and exceeding parts against nature the same cause
καὶ τῆς διδυμοτοκίας. Ἤδη γὰρ ἐν τοῖς κυήμασι συμβαίνει
also of-the twin-bearing Already for in the fetuses happens
τὸ αἴτιον, ἐὰν πλείω ὕλην συστήσῃ ἢ κατὰ τὴν τοῦ
the cause if more matter it-constitute than according-to the of-the
μορίου φύσιν. Τότε γὰρ συμβαίνει μὲν μόριον μεῖζον τῶν
part nature Then for it-happens indeed part greater than-the
ἄλλων ἔχειν, οἷον δάκτυλον ἢ χεῖρα ἢ πόδα ἤ τι τῶν
others to-have such-as finger or hand or foot or some of-the
ἄλλων ἀκρωτηρίων ἢ μελῶν, ἢ σχισθέντος τοῦ κυήματος
other extremities or limbs or having-been-split the fetus
πλείω γίνεσθαι, καθάπερ ἐν τοῖς ποταμοῖς αἱ δῖναι. Καὶ
more to-come-to-be just-as in the rivers the eddies And
γὰρ ἐν τούτοις τὸ φερόμενον ὑγρὸν καὶ κίνησιν ἔχον ἂν
for in these the moving moist and motion having if

ἀντικρούσῃ, δύο ἐξ ἑνὸς γίνονται συστάσεις, ἔχουσαι τὴν
it-strike-against two from one come-to-be constitutions having the
αὐτὴν κίνησιν· τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν
same motion the same and way also in-the-case-of the
κυημάτων συμβαίνει. Προσφύεται δὲ μάλιστα μὲν πλησίον
fetuses it-happens Are-attached and most indeed near
ἀλλήλων, ἐνίοτε δὲ καὶ πόρρω διὰ τὴν γιγνομένην
one-another sometimes and also far because-of the arising
ἐν τῷ κυήματι κίνησιν, μάλιστα δὲ διὰ τὸ τὴν τῆς
in the fetus motion most and because-of the the of-the
ὕλης ὑπεροχήν, ὅθεν ἀφῃρέθη, ἐκεῖ ἀποδιδόναι, τὸ δ'
matter excess whence it-was-taken-away there to-give-back the and
εἶδος ἔχειν, ὅθεν ἐπλεόνασεν.
form to-have whence it-exceeded
Ὅσα δὲ συμβαίνει τοιαῦτα ὥστε δύο ἔχειν αἰδοῖα, τὸ
As-many-as and happen such so-that two to-have genitals the-one
μὲν ἄρρενος τὸ δὲ θήλεος, ἀεὶ μὲν τῶν πλεοναζόντων
indeed of-male the-other and of-female always indeed of-the exceeding
γίνεται τὸ μὲν κύριον τὸ δ' ἄκυρον τῷ κατὰ
becomes the-one indeed sovereign the-other and not-sovereign by-the in-respect-of
τὴν τροφὴν ἀεὶ ἀμαυροῦσθαι ἅτε παρὰ φύσιν ὄν,
the nourishment always to-be-dimmed inasmuch-as against nature being
προσπέφυκε δ' ὥσπερ τὰ φύματα· καὶ γὰρ ταῦτα λαμβάνει
it-is-attached and just-as the growths and for these take
τροφήν, καίπερ ὄντα ὑστερογενῆ καὶ παρὰ φύσιν. Γίνεται
nourishment although being later-born and against nature It-comes-about
δὲ κρατήσαντος μὲν τοῦ δημιουργοῦντος ὅμοια δύο καὶ
and having-prevailed indeed the crafting like two and
κρατηθέντος ὅλως· ἂν δὲ τῇ μὲν κρατήσῃ τῇ
having-been-prevailed-over wholly if but in-one-respect indeed it-prevail in-another
δὲ κρατηθῇ, τὸ μὲν θῆλυ τὸ δὲ ἄρρεν. Οὐθὲν γὰρ
and be-prevailed-over the-one indeed female the-other and male Nothing for

διαφέρει τοῦτο λέγειν ἐπὶ τῶν μορίων ἢ ἐπὶ τοῦ
it-differs this to-say in-the-case-of the parts or in-the-case-of the
ὅλου, δι' ἣν αἰτίαν γίνεται τὸ μὲν θῆλυ τὸ δ'
whole because-of which cause becomes the-one indeed female the-other and
ἄρρεν. Ὅσα δ' ἐλλείποντα γίνεται τῶν τοιούτων μορίων,
male As-many-as and lacking come-to-be of-the such parts
οἷον ἀκρωτηρίου τινὸς ἢ τῶν ἄλλων μελῶν, τὴν αὐτὴν
such-as extremity some or of-the other limbs the same
δεῖ νομίζειν αἰτίαν, ὅμοιον γάρ, κἂν ὅλως τὸ γινόμενον
one-must to-think cause like for even-if wholly the coming-to-be
ἀμβλωθῇ. Ἀμβλώσεις δὲ γίνονται πολλαὶ τῶν κυημάτων.
be-aborted Abortions and come-to-be many of-the fetuses
Διαφέρουσι δ' αἱ μὲν παραφύσεις τῆς πολυτοκίας τὸν
Differ and the indeed outgrowths from-the many-bearing the
εἰρημένον τρόπον, τὰ δὲ τέρατα τούτων τῷ πολλὰ εἶναι
said way the but monsters from-these by-the many to-be
αὐτῶν σύμφυσιν. Ἔνια δὲ καὶ τοῦτον τὸν τρόπον, ἐὰν ἐπὶ
of-them fusion Some and also this the way if in
μειζόνων γένωνται καὶ κυριωτέρων μορίων, οἷον ἔνια ἔχει
greater they-come-to-be and more-sovereign parts such-as some have
δύο σπλῆνας καὶ πλείους νεφρούς. Ἔτι δὲ μεταστάσεις
two spleens and more kidneys Further and displacements
τῶν μορίων παρατρεπομένων τῶν κινήσεών εἰσι καὶ τῆς
of-the parts being-turned-aside the motions are and the
ὕλης μεθισταμένης. Ἓν δ' εἶναι τὸ ζῷον τὸ τερατῶδες
matter shifting One but to-be the animal the monstrous
ἢ πλείω συμπεφυκότα δεῖ νομίζειν κατὰ τὴν ἀρχήν,
or more grown-together one-must to-think according-to the principle
οἷον εἰ τοιοῦτόν ἐστιν ἡ καρδία μόριον, τὸ μὲν μίαν ἔχον
such-as if such is the heart part the indeed one having
καρδίαν ἓν ζῷον, τὰ δὲ πλεονάζοντα μόρια παραφύσεις,
heart one animal the but exceeding parts outgrowths

τὰ δὲ πλείω ἔχοντα δύο μὲν εἶναι, συμπεφυκέναι δὲ
the-ones but more having two indeed to-be to-have-grown-together but
διὰ τὴν τῶν κυημάτων σύναψιν. Συμβαίνει δὲ πολλάκις
because-of the of-the fetuses contact It-happens and often
καὶ τῶν οὐ δοκούντων ἀναπήρων εἶναι ζῴων πολλοῖς
also of-the not seeming maimed to-be animals to-many
ἤδη τετελειωμένοις τοὺς μὲν συμπεφυκέναι τῶν πόρων
already completed the-ones indeed to-have-grown-together of-the ducts
τοὺς δὲ παρεκτετράφθαι. Καὶ γὰρ θήλεσί τισιν ἤδη
the-others and to-have-been-turned-aside And for in-females some already
τὸ στόμα τῶν ὑστερῶν συμπεφυκὸς διετέλεσεν, ἤδη δ'
the mouth of-the uteri grown-together continued already and
ὥρας οὔσης τῶν καταμηνίων καὶ πόνων γιγνομένων ταῖς
season being of-the menses and pains coming-about for-some
μὲν αὐτόματον ἐρράγη, ταῖς δ' ὑπὸ ἰατρῶν διηρέθη·
indeed spontaneously it-broke for-others and by doctors was-divided
τὰς δὲ διαφθαρῆναι συνέπεσεν ἢ βίᾳ γενομένης
the-others and to-be-destroyed it-happened either by-force having-come-about
τῆς ῥήξεως ἢ γενέσθαι μὴ δυναμένης.
the rupture or to-come-about not being-able
Καὶ τῶν παίδων ἐνίοις οὐ κατὰ τὸ αὐτὸ συνέπεσε τὸ πέρας
And of-the boys in-some not at the same coincided the end
τοῦ αἰδοίου καὶ ὁ πόρος ᾗ διέρχεται τὸ περίττωμα τὸ
of-the genital and the duct by-which passes-through the residue the
ἐκ τῆς κύστεως, ἀλλ' ὑποκάτωθεν· διὸ καὶ καθήμενοι
from the bladder but beneath wherefore also sitting
οὐροῦσι, τῶν δὲ ὄρχεων ἀνεσπασμένων ἄνω δοκοῦσι
they-urinate of-the and testes drawn-up upward they-seem
τοῖς ἄποθεν ἅμα θήλεος ἔχειν αἰδοῖον καὶ ἄρρενος. Ἤδη
to-those from-afar at-once of-female to-have genital and of-male Already
δὲ καὶ ὁ τῆς ξηρᾶς τροφῆς πόρος συμπεφυκὼς ἐπί
and also the of-the dry nourishment duct grown-together in

τινων ζῴων γέγονε, καὶ προβάτων καὶ ἄλλων, ἐπεὶ καὶ
some animals has-been both of-sheep and of-others since also
βοῦς ἐν Περίνθῳ ἐγένετο ᾗ διὰ τῆς κύστεως λεπτὴ
cow in Perinthus was-born in-which through the bladder fine
διηθουμένη τροφὴ διεχώρει, καὶ ἀνατμηθέντος τοῦ ἀρχοῦ
filtered nourishment passed-out and having-been-cut-open the anus
ταχὺ πάλιν συνεφύετο, καὶ οὐκ ἐπεκράτουν διαιροῦντες.
quickly again it-grew-together and not they-prevailed dividing

V · SUPERFETATION

Single-bearing animals do not superfetate, since their residue goes to the one fetus, while the many-bearing do; in women a second conception soon after the first can come to term, later ones miscarry. Only woman and mare accept mating while pregnant. The lustful animals are those whose seed collects without outlet, as the barren females of every live-bearing kind and male birds, with testes drawn up inside; the hare, many-bearing, seminal, and hairy, a sign of residue, superfetates late, carrying unformed young beside formed.

Περὶ μὲν οὖν ὀλιγοτοκίας καὶ πολυτοκίας καὶ παραφύσεως
About indeed then few-bearing and many-bearing and outgrowth
τῶν πλεοναζόντων ἢ ἐλλειπόντων μορίων, ἔτι δὲ περὶ τῶν
of-the exceeding or lacking parts further and about the
τερατωδῶν, εἴρηται. Τῶν δὲ ζῴων τὰ μὲν ὅλως οὐκ
monstrous it-has-been-said Of-the and animals the-ones indeed at-all not
ἐπικυΐσκεται τὰ δ' ἐπικυΐσκεται, καὶ τῶν ἐπικυϊσκομένων
superfetate the-others and superfetate and of-the superfetating
τὰ μὲν δύναται τὰ κυήματα ἐκτρέφειν, τὰ δὲ ποτὲ
the-ones indeed can the fetuses to-rear-out the-others and sometimes
μὲν ποτὲ δ' οὔ. Τοῦ δὲ μὴ ἐπικυΐσκεσθαι αἴτιον ὅτι
indeed at-other-times but not Of-the and not to-superfetate cause that

μονοτόκα ἐστίν. Τά τε γὰρ μώνυχα οὐκ ἐπικυΐσκεται καὶ
single-bearing they-are The both for solid-hoofed not superfetate and
τὰ τούτων μείζονα· διὰ γὰρ τὸ μέγεθος τὸ περίττωμα
the than-these larger because-of for the size the residue
ἀναλίσκεται εἰς τὸ κύημα. Πᾶσι γὰρ ὑπάρχει μέγεθος τούτοις
is-spent on the fetus To-all for belongs size to-these
σώματος, τῶν δὲ μεγάλων καὶ τὰ ἔμβρυα μεγάλα κατὰ
of-body of-the and large also the embryos large in
λόγον ἐστίν· διὸ καὶ τὸ τῶν ἐλεφάντων ἔμβρυον ἡλίκον
proportion are wherefore also the of-the elephants embryo as-big-as
μόσχος ἐστίν. Τὰ δὲ πολυτόκα ἐπικυΐσκεται διὰ τὸ τὰ
a-calf is The but many-bearing superfetate because-of the the
πλείονα τοῦ ἑνὸς εἶναι θατέρῳ θάτερον ἐπικύημα. Τούτων
more than-the one to-be to-the-one the-other a-superfetation Of-these
δ' ὅσα μὲν μέγεθος ἔχει, καθάπερ ἄνθρωπος, ἐὰν μὲν
and as-many-as indeed size have just-as human if indeed
ἡ ἑτέρα ὀχεία τῆς ἑτέρας γένηται πάρεγγυς, ἐκτρέφει
the one copulation than-the other come-about near it-rears-out
τὸ ἐπικυηθέν· ἤδη γὰρ ὤπται τὸ τοιοῦτον συμβεβηκός.
the superfetated already for has-been-seen the such happening
Αἴτιον δὲ τὸ εἰρημένον· καὶ γὰρ ἐν τῇ μιᾷ συνουσίᾳ πλεῖον
Cause and the said and for in the one intercourse more
τὸ ἀπιόν ἐστι σπέρμα, ὃ μερισθὲν ποιεῖ πολυτοκεῖν, ὧν
the departing is seed which divided makes to-bear-many of-which
ὑστερίζει θάτερον. Ὅταν δ' ἤδη τοῦ κυήματος ηὐξημένου
comes-later the-one When but already the fetus having-grown
συμβῇ γίνεσθαι τὴν ὀχείαν, ἐπικυΐσκεται μέν ποτε,
it-happen to-come-about the copulation it-superfetates indeed sometimes
ὀλιγάκις μέντοι διὰ τὸ τὴν ὑστέραν συμμύειν ὡς τὰ
seldom however because-of the the uterus to-close as the
πολλὰ μέχρι τῶν κυουμένων ταῖς γυναιξίν. Ἂν δὲ συμβῇ
most-part until the being-carried in-the women If and it-happen

ποτέ (καὶ γὰρ τοῦτ᾽ ἤδη γέγονεν), οὐ δύναται τελειοῦν,
ever and for this already has-happened not it-can to-complete
ἀλλὰ κυήματ᾽ ἐκπίπτει παραπλήσια τοῖς καλουμένοις
but fetuses fall-out similar to-the so-called
ἐκτρώμασιν. Ὥσπερ γὰρ ἐπὶ τῶν μονοτόκων διὰ
miscarriages Just-as for in-the-case-of the single-bearing because-of
τὸ μέγεθος εἰς τὸ προϋπάρχον τὸ περίττωμα τρέπεται
the size into the pre-existing the residue is-turned
πᾶν, οὕτω καὶ τούτοις, πλὴν ἐκείνοις μὲν εὐθύς, τούτοις
all so also in-these except in-those indeed at-once in-these
δ᾽ ὅταν αὐξηθῇ τὸ ἔμβρυον· τότε γὰρ ἔχουσι παραπλησίως
but when be-grown the embryo then for they-are similarly
τοῖς μονοτόκοις. Ὁμοίως δὲ διὰ τὸ τὸν ἄνθρωπον
to-the single-bearing Likewise and because-of the the human
φύσει πολυτόκον εἶναι, καὶ περιεῖναί τι τῷ μεγέθει
by-nature many-bearing to-be and to-be-left-over something to-the size
τῆς ὑστέρας καὶ τοῦ περιττώματος, μὴ μέντοι τοσοῦτον
of-the uterus and of-the residue not however so-much
ὥστε ἕτερον ἐκτρέφειν, μόνα τῶν ζῴων ὀχείαν ἐπιδέχονται
so-that another to-rear-out alone of-the animals copulation admit
κυοῦντα γυνὴ καὶ ἵππος, ἡ μὲν διὰ τὴν εἰρημένην
being-pregnant woman and mare the-one indeed because-of the said
αἰτίαν, ἡ δ᾽ ἵππος διά τε τὴν τῆς φύσεως στερρότητα
cause the and mare because-of both the of-the nature barrenness
καὶ τὸ περιεῖναί τι τῆς ὑστέρας μέγεθος, πλέον μὲν ἢ
and the to-be-left-over some of-the uterus size more indeed than
τῷ ἑνί, ἔλαττον δὲ ἢ ὥστε ἄλλο ἐπικυΐσκεσθαι τέλειον.
for-the one less but than so-that another to-be-superfetated complete
Ἔστι δὲ φύσει ἀφροδισιαστικὸν διὰ τὸ ταὐτὸ
It-is and by-nature lustful because-of the the-same
πεπονθέναι τοῖς στερροῖς· ἐκεῖνά τε γὰρ τοιαῦτ᾽ ἐστὶ
to-have-undergone as-the barren those both for such are

διὰ τὸ μὴ γίνεσθαι κάθαρσιν (τοῦτο δ' ἐστὶν ὥσπερ
because-of the not to-come-about purgation this and is just-as
τοῖς ἄρρεσι τὸ ἀφροδισιάσαι) καὶ ἵπποι αἱ θήλειαι ἥκιστα
for-the males the to-have-intercourse and horses the females least
προΐενται κάθαρσιν. Ἐν πᾶσι δὲ τοῖς ζῳοτοκοῦσι τὰ στερρὰ
emit purgation In all and the live-bearing the barren
τῶν θηλέων ἀφροδισιαστικὰ διὰ τὸ παραπλησίως ἔχειν
of-the females lustful because-of the similarly to-be
τοῖς ἄρρεσιν, ὅταν συνειλεγμένον μὲν ᾖ τὸ σπέρμα, μὴ
to-the males when collected indeed be the seed not
ἀποκρινόμενον δέ. Τοῖς γὰρ θήλεσιν ἡ τῶν καταμηνίων
being-secreted but For-the for females the of-the menses
κάθαρσις σπέρματος ἔξοδός ἐστιν· ἔστι γὰρ τὰ καταμήνια
purgation of-seed outlet is is for the menses
σπέρμα ἄπεπτον, ὥσπερ εἴρηται πρότερον. Διὸ καὶ
seed unconcocted just-as has-been-said before Wherefore also
τῶν γυναικῶν ὅσαι πρὸς τὴν ὁμιλίαν ἀκρατεῖς τὴν
of-the women as-many-as toward the intercourse incontinent the
τοιαύτην, ὅταν πολυτοκήσωσι, παύονται τῆς πτοήσεως·
such when they-have-borne-many they-cease of-the excitement
ἐκκεκριμένη γὰρ ἡ σπερματικὴ περίττωσις οὐκέτι ποιεῖ
having-been-secreted for the seminal residue no-longer makes
τῆς ὁμιλίας ταύτης ἐπιθυμίαν. Ἐν δὲ τοῖς ὄρνισιν αἱ
of-the intercourse this desire In and the birds the
θήλειαι τῶν ἀρρένων ἧττόν εἰσιν ἀφροδισιαστικαὶ διὰ
females than-the males less are lustful because-of
τὸ πρὸς τῷ ὑποζώματι τὰς ὑστέρας ἔχειν, τὰ δ' ἄρρενα
the at the diaphragm the uteri to-have the but males
τοὐναντίον· ἀνεσπασμένους γὰρ ἔχει τοὺς ὄρχεις ἐντός,
the-opposite drawn-up for they-have the testes inside

ὥστ᾽ ἂν ᾖ τὸ γένος τῶν τοιούτων ὀρνίθων φύσει
so-that if be the kind of-the such birds by-nature
σπερματικόν, ἀεὶ δεῖσθαι τῆς ὁμιλίας ταύτης.
seminal always to-need the intercourse this
Τοῖς μὲν οὖν θήλεσι τὸ κάτω καταβαίνειν τὰς ὑστέρας,
For-the indeed then females the downward to-come-down the uteri
τοῖς δ᾽ ἄρρεσι τὸ ἀνασπᾶσθαι τοὺς ὄρχεις συμβαίνει πρὸ
for-the and males the to-be-drawn-up the testes happens ahead
ὁδοῦ πρὸς τὴν ὀχείαν. Δι᾽ ἣν μὲν οὖν αἰτίαν τὰ
on-the-way toward the copulation Because-of which indeed then cause the-ones
μὲν οὐκ ἐπικυΐσκεται παντελῶς, τὰ δ᾽ ἐπικυΐσκεται
indeed not superfetate altogether the-others and superfetate
μέν, τὰ δὲ κυήματα ἐκτρέφει ὁτὲ μὲν ὁτὲ δ᾽ οὔ, καὶ
indeed the but fetuses rear-out at-times indeed at-times but not and
διὰ τίν᾽ αἰτίαν τὰ μὲν ἀφροδισιαστικὰ τὰ δ᾽ οὐκ
because-of what cause the-ones indeed lustful the-others and not
ἀφροδισιαστικὰ τῶν τοιούτων ἐστίν, εἴρηται. Ἔνια δὲ
lustful of-the such are it-has-been-said Some and
τῶν ἐπικυϊσκομένων καὶ πολὺν χρόνον διαλειπούσης τῆς
of-the superfetating even much time having-intervened the
ὀχείας δύναται τὰ κυήματα ἐκτρέφειν, ὅσων σπερματικόν
copulation can the fetuses to-rear-out as-many-as seminal
τε τὸ γένος ἐστὶ καὶ μὴ τὸ σῶμα μέγεθος ἔχει καὶ
both the kind is and not the body size has and
τῶν πολυτόκων ἐστίν. Διὰ μὲν γὰρ τὸ πολυτοκεῖν
of-the many-bearing is Because-of indeed for the to-bear-many
εὐρυχωρίαν ἔχει τῆς ὑστέρας, διὰ δὲ τὸ σπερματικὸν
roominess it-has of-the uterus because-of and the seminal
εἶναι πολὺ προΐεται περίττωμα τῆς καθάρσεως· διὰ δὲ
to-be much it-emits residue of-the purgation because-of and
τὸ μὴ τὸ σῶμα μέγεθος ἔχειν, ἀλλὰ πλείονι λόγῳ τὴν
the not the body size to-have but by-greater ratio the

κάθαρσιν ὑπερβάλλειν τῆς εἰς τὸ κύημα τροφῆς, δύναταί
purgation to-exceed the to the fetus nourishment it-can
τε συνίστασθαι ζῷα καὶ ὕστερον καὶ ταῦτ' ἐκτρέφειν.
both to-be-constituted animals also later and these to-rear-out
Ἔτι δ' αἱ ὑστέραι τῶν τοιούτων οὐ συμμεμύκασι διὰ τὸ
Further and the uteri of-the such not have-closed because-of the
περιεῖναι περίττωμα τῆς καθάρσεως. Τοῦτο δὲ καὶ ἐπὶ
to-be-left-over residue of-the purgation This and also in-the-case-of
γυναικῶν ἤδη συμβέβηκεν· γίνεται γάρ τισι κυούσαις
εἴδει ταὐτόν ἐστιν, ἡ μὲν πάχνη τῷ γένει (ἀτμὶς γὰρ
species the-same is the indeed hoarfrost in-the kind vapor for
ἄμφω), ὁ δὲ εὐρὼς τῷ εἴδει (σῆψις γὰρ ἄμφω). Σημεῖον
both the but mold in-the species putrefaction for both Sign
δ' ὅτι τοιοῦτόν ἐστιν· καὶ γὰρ ἐκ νόσων πολλοῖς πολιαὶ
and that such it-is and for from diseases in-many gray-hairs
ἀνέφυσαν, ὕστερον δ' ὑγιασθεῖσι μέλαιναι ἀντὶ τούτων.
grew-up later but having-become-healthy black instead-of these
Αἴτιον δ' ὅτι ἐν τῇ ἀρρωστίᾳ, ὥσπερ καὶ τὸ ἄλλο σῶμα
Cause and that in the sickness just-as also the other body
ἐν ἐνδείᾳ φυσικῆς θερμότητός ἐστιν, οὕτω καὶ τῶν ἄλλων
in lack of-natural heat is so also of-the other
μορίων καὶ τὰ πάνυ μικρὰ μετέχει τῆς ἀρρωστίας ταύτης.
parts even the very small partake of-the sickness this

Περίττωμα δὲ πολὺ ἐγγίνεται ἐν τοῖς σώμασι καὶ τοῖς
Residue and much comes-to-be-in in the bodies and the
μορίοις· διόπερ ἡ ἐν ταῖς σαρξὶν ἀπεψία ποιεῖ τὰς πολιάς.
parts wherefore the in the fleshes non-concoction makes the gray-hairs
Ὑγιάναντες δὲ καὶ ἰσχύσαντες πάλιν μεταβάλλουσι,
Having-become-healthy and also having-grown-strong again they-change
καὶ γίνονται ὥσπερ ἐκ γερόντων νέοι· διὸ καὶ τὰ πάθη
and become just-as from old-men young wherefore also the affections
συμμεταβάλλουσιν. Ὀρθῶς δ' ἔχει καὶ λέγειν τὴν μὲν
change-with Rightly and it-is also to-say the indeed
νόσον γῆρας ἐπίκτητον, τὸ δὲ γῆρας νόσον φυσικήν· ποιοῦσι
disease old-age acquired the but old-age disease natural make
γοῦν νόσοι τινὲς ταὐτὰ ἅπερ καὶ τὸ γῆρας. Τοὺς δὲ
at-any-rate diseases some the-same-things which also the old-age The and
κροτάφους πολιοῦνται πρῶτον. Τὰ μὲν γὰρ ὄπισθεν κενὰ
temples they-grow-gray first The indeed for back empty
ὑγρότητός ἐστι διὰ τὸ μὴ ἔχειν ἐγκέφαλον, τὸ δὲ βρέγμα
of-moisture are because-of the not to-have brain the but bregma
πολλὴν ἔχει ὑγρότητα· τὸ δὲ πολὺ οὐκ εὔσηπτον. Αἱ δ' ἐν
much has moisture the but much not easily-putrefied The and in
τοῖς κροτάφοις τρίχες οὔθ' οὕτως ὀλίγον ἔχουσιν ὑγρὸν ὥστε
the temples hairs neither so little have moist so-that
πέττειν, οὔτε πολὺ ὥστε μὴ σήπεσθαι· μέσος γὰρ ὢν ὁ
to-concoct nor much so-that not to-putrefy middle for being the
τόπος ἀμφοτέρων ἐκτὸς ἀμφοτέρων τῶν παθῶν ἐστίν. Περὶ
place of-both outside both the affections is About
μὲν οὖν τῆς τῶν ἀνθρώπων πολιότητος εἴρηται τὸ αἴτιον.
indeed then the of-the humans grayness it-has-been-said the cause

Other animals do not visibly gray, having a smaller and drier brain, except the horse, whose skull bone is thinnest for its size, as Homer knew when he named the spot where the hairs first grow on the skull as most mortal. Red hair grays sooner, being weaker. Cranes are said to darken with age. Grayness is a putrefaction, not a withering: covered hair grays faster, since the winds prevent putrefaction, and some hair is gray from birth, while nothing withered grows. In other animals hair color follows the skin, but human skin is too thin to affect it.

Τοῖς δ' ἄλλοις ζῴοις τοῦ μὴ γίνεσθαι διὰ τὴν ἡλικίαν
For-the and other animals of-the not to-come-about because-of the age
ταύτην τὴν μεταβολὴν ἐπιδήλως τὸ αὐτὸ αἴτιον ὅπερ
this the change evidently the same cause which-very
εἴρηται καὶ ἐπὶ τῆς φαλακρότητος· ὀλίγον γὰρ ἔχουσι
has-been-said also in-the-case-of the baldness little for they-have
καὶ ἧττον ὑγρὸν τὸν ἐγκέφαλον, ὥστε μὴ ἐξαδυνατεῖν
and less moist the brain so-that not to-become-incapable
τὸ θερμὸν πρὸς τὴν πέψιν. Τοῖς δ' ἵπποις ἐπισημαίνει
the hot for the concoction For-the but horses it-shows-signs
μάλιστα ὧν ἴσμεν ζῴων, ὅτι λεπτότατον τὸ ὀστοῦν ὡς
most of-which we-know animals because thinnest the bone as
κατὰ μέγεθος ἔχουσι περὶ τὸν ἐγκέφαλον τῶν ἄλλων.
according-to size they-have about the brain than-the others
Τεκμήριον δ' ὅτι καίριος ἡ πληγὴ ἡ εἰς τὸν τόπον
Proof and that mortal the blow the into the place
τοῦτον γίνεται αὐτοῖς· διὸ καὶ Ὅμηρος οὕτως ἐποίησεν
this becomes for-them wherefore also Homer so composed

ἵνα τε πρῶται τρίχες ἵππων
where both first hairs of-horses
κρανίῳ ἐμπεφύασι, μάλιστα δὲ καίριόν ἐστιν.
on-the-skull have-grown most and mortal it-is

Ῥᾳδίως οὖν ἐπιρρεούσης τῆς ὑγρότητος διὰ τὴν
Easily then flowing-on the moisture because-of the
λεπτότητα τοῦ ὀστοῦ, τῆς δὲ θερμότητος ἐλλειπούσης διὰ
thinness of-the bone the and heat failing because-of
τὴν ἡλικίαν, ἐπιπολιοῦνται αἱ τρίχες αὗται. Καὶ αἱ πυρραὶ
the age grow-gray the hairs these Also the red
δὲ θᾶττον πολιοῦνται τρίχες τῶν μελαινῶν· ἔστι γὰρ καὶ ἡ
and faster grow-gray hairs than-the black is for also the
πυρρότης ὥσπερ ἀρρωστία τριχός, τὰ δ' ἀσθενῆ γηράσκει
redness just-as sickness of-hair the and weak grow-old
πάντα θᾶττον. Μελαντέρας δὲ γίνεσθαι γηρασκούσας
all faster Blacker and to-become aging
λέγεται τὰς γεράνους. Αἴτιον δ' ἂν εἴη τοῦ πάθους τὸ
is-said the cranes Cause but — would-be of-the affection the
φύσει λευκοτέραν αὐτῶν εἶναι τὴν τῶν πτερῶν φύσιν, πλέον
by-nature whiter of-them to-be the of-the feathers nature more
τε γηρασκόντων εἶναι τὸ ὑγρὸν ἐν τοῖς πτεροῖς ἢ ὥστε
and aging to-be the moist in the feathers than so-that
εὐσηπτότερον εἶναι. Ὅτι δὲ γίγνεται ἡ πολιὰ σήψει τινί,
more-easily-putrefied to-be That and comes-about the grayness by-putrefaction some
καὶ ὅτι οὐκ ἔστιν, ὥσπερ οἴονταί τινες, αὔανσις, σημεῖον τοῦ
and that not is just-as think some withering sign of-the
προτέρου ῥηθέντος τὸ τὰς σκεπαζομένας τρίχας πίλοις
former said the the being-covered hairs with-felt-caps
ἢ καλύμμασι πολιοῦσθαι θᾶττον (τὰ γὰρ πνεύματα κωλύει
or coverings to-grow-gray faster the for winds prevent

τὴν σῆψιν, ἡ δὲ σκέπη ἄπνοιαν ποιεῖ), καὶ τὸ βοηθεῖν
the putrefaction the but covering windlessness makes and the to-help
τὴν ἄλειψιν τὴν τοῦ ὕδατος καὶ τοῦ ἐλαίου μιγνυμένων.
the anointing the of-the water and of-the oil being-mixed
Τὸ μὲν γὰρ ὕδωρ ψύχει, τὸ δ' ἔλαιον μιγνύμενον κωλύει
The indeed for water chills the but oil being-mixed prevents
ξηραίνεσθαι ταχέως· τὸ γὰρ ὕδωρ εὐξήραντον. Ὅτι δ' οὐκ
to-be-dried quickly the for water easily-dried That and not
ἔστιν αὔανσις, οὐδ' ὥσπερ ἡ πόα αὐαινομένη λευκαίνεται,
is withering nor just-as the grass withering is-whitened
οὕτω καὶ ἡ θρίξ, σημεῖον ὅτι φύονται εὐθέως ἔνιοι πολιοί·
so also the hair sign that grow at-once some gray
αὖον δ' οὐθὲν φύεται. Λευκαίνονται δὲ καὶ ἐπ' ἄκρου
withered but nothing grows Are-whitened and also at tip
πολλαί· ἐν γὰρ τοῖς ἐσχάτοις καὶ λεπτοτάτοις ἐλαχίστη
many in for the extreme and thinnest least
θερμότης ἐγγίνεται. Τοῖς δ' ἄλλοις ζῴοις ὅσοις γίνονται
heat comes-to-be-in For-the and other animals in-as-many-as become
λευκαὶ αἱ τρίχες, φύσει ἀλλ' οὐ πάθει συμβαίνει γίνεσθαι
white the hairs by-nature but not by-affection it-happens to-come-about
τοῦτο. Αἴτιον δὲ τῶν χρωμάτων τὸ δέρμα τοῖς ἄλλοις·
this Cause and of-the colors the skin for-the others
τῶν μὲν γὰρ λευκῶν λευκὸν τὸ δέρμα, τῶν δὲ μελάνων
of-the indeed for white white the skin of-the but black
μέλαν, τῶν δὲ ποικίλων καὶ γιγνομένων ἐκ συμμίξεως
black of-the but variegated and coming-to-be from mixture
τῇ μὲν λευκὸν τῇ δὲ μέλαν φαίνεται ὅν. Ἐπὶ
in-one-place indeed white in-another but black appears being In-the-case-of
δὲ τῶν ἀνθρώπων οὐθὲν αἴτιον τὸ δέρμα· καὶ γὰρ οἱ
but the humans nothing cause the skin and for the
λευκοὶ σφόδρα μελαίνας ἔχουσιν. Αἴτιον δ' ὅτι λεπτότατον
white very black have Cause and that thinnest

πάντων δέρμα ἄνθρωπος ἔχει ὡς κατὰ μέγεθος, διόπερ
of-all skin human has as according-to size wherefore
οὐθὲν ἰσχύει πρὸς τὴν τῶν τριχῶν μεταβολήν, ἀλλὰ
nothing prevails toward the of-the hairs change but
διὰ τὴν ἀσθένειαν τὸ δέρμα καὶ μεταβάλλει αὐτὸ τὴν
because-of the weakness the skin also changes itself the
χρόαν, καὶ γίνεται ὑπὸ ἡλίων καὶ πνευμάτων μελάντερον·
color and becomes by suns and winds blacker
αἱ δὲ τρίχες οὐθὲν συμμεταβάλλουσιν. Ἐν δὲ τοῖς ἄλλοις
the but hairs nothing change-with In but the others
τὸ δέρμα χώρας ἔχει δύναμιν διὰ τὸ πάχος· διὸ
the skin of-soil has power because-of the thickness wherefore
αἱ μὲν τρίχες κατὰ τὰ δέρματα μεταβάλλουσι, τὰ δὲ
the indeed hairs according-to the skins change the but
δέρματα οὐθὲν κατὰ τὰ πνεύματα καὶ τὸν ἥλιον.
skins nothing according-to the winds and the sun

VI · COLORS OF ANIMALS

Some kinds are one-colored, like lions; some many-colored but each animal whole-colored, like oxen; some variegated by kind, like the leopard, or by individual. The whole-colored change color more easily than the one-colored, which change only by an affection. Hot waters whiten hair and cold blacken it, by the air showing through. The underparts are whiter, and tongues are variegated in variegated animals. Some change color with the seasons, and the omnivorous are more variegated, their varied food causing varied residues.

Τῶν δὲ ζῴων τὰ μέν ἐστι μονόχροα (λέγω δὲ μονόχροα
Of-the and animals the-ones indeed are one-colored I-mean and one-colored
ὧν τὸ γένος ὅλον ἓν χρῶμα ἔχει, οἷον λέοντες πυρροὶ
of-which the kind whole one color has such-as lions tawny

πάντες· καὶ τοῦτο καὶ ἐπ᾽ ὀρνίθων καὶ ἐπ᾽
all and this also in-the-case-of birds and in-the-case-of
ἰχθύων ἐστὶ καὶ τῶν ἄλλων ζῴων ὁμοίως), τὰ δὲ
fish is and of-the other animals likewise the-others and
πολύχροα μέν, ὁλόχροα δέ (λέγω δὲ ὧν τὸ σῶμα ὅλον
many-colored indeed whole-colored but I-mean and of-which the body whole
τὴν αὐτὴν ἔχει χρόαν, οἷον βοῦς ἐστὶν ὅλος λευκὸς καὶ
the same has color such-as ox is whole white and
ὅλος μέλας), τὰ δὲ ποικίλα. Τοῦτο δὲ διχῶς, τὰ
whole black the-others and variegated This and in-two-ways the-ones
μὲν τῷ γένει, ὥσπερ πάρδαλις καὶ ταώς, καὶ τῶν ἰχθύων
indeed by-the kind just-as leopard and peacock and of-the fish
ἔνιοι, οἷον αἱ καλούμεναι θρᾶτται· τῶν δὲ τὸ μὲν
some such-as the so-called thrattae of-the-others and the indeed
γένος ἅπαν οὐ ποικίλον, γίνονται δὲ ποικίλοι, οἷον βόες
kind whole not variegated become but variegated such-as oxen
καὶ αἶγες, καὶ ἐν τοῖς ὄρνισιν, οἷον αἱ περιστεραί· καὶ
and goats and in the birds such-as the pigeons and
ἄλλα δὲ γένη τὸ αὐτὸ πάσχει τῶν ὀρνίθων, μεταβάλλει δὲ
other and kinds the same undergo of-the birds change and
τὰ ὁλόχροα πολλῷ μᾶλλον τῶν μονοχρόων, καὶ εἰς τὴν
the whole-colored much more than-the one-colored both into the
ἀλλήλων χρόαν τὴν ἁπλῆν, οἷον ἐκ λευκῶν μέλανα καὶ
of-one-another color the simple such-as from white black and
ἐκ μελάνων λευκά, καὶ μεμιγμένα ἐξ ἀμφοτέρων, διὰ
from black white and mixed from both because-of
τὸ ὅλῳ τῷ γένει ὑπάρχειν ἐν τῇ φύσει τὸ μὴ μίαν ἔχειν
the to-whole the kind to-belong in the nature the not one to-have
χρόαν· εὐκίνητον γὰρ ὑπάρχει ἐπ᾽ ἀμφότερα τὸ γένος,
color easily-moved for belongs in both-directions the kind
ὥστε καὶ εἰς ἄλληλα μεταβάλλειν καὶ ποικίλλεσθαι μᾶλλον.
so-that both into one-another to-change and to-be-variegated more

Τὰ δὲ μονόχροα τοὐναντίον· οὐ γὰρ μεταβάλλει, ἂν μὴ
The but one-colored the-opposite not for they-change if not
διὰ πάθος, καὶ τοῦτο σπάνιον· ἤδη γὰρ ὤπται καὶ
because-of affection and this rare already for have-been-seen both
πέρδιξ λευκὴ καὶ κόραξ καὶ στρουθὸς καὶ ἄρκτος. Συμβαίνει
partridge white and raven and sparrow and bear Happen
δὲ ταῦτα, ὅταν ἐν τῇ γενέσει διαστραφῇ· εὔφθαρτον γὰρ καὶ
and these when in the generation it-be-distorted easily-destroyed for and
εὐκίνητον τὸ μικρόν, τὸ δὲ γιγνόμενον τοιοῦτον· ἐν μικρῷ
easily-moved the small the but coming-to-be such in small
γὰρ ἡ ἀρχὴ τοῖς γιγνομένοις. Μάλιστα δὲ μεταβάλλουσι
for the principle for-the coming-to-be Most and change
καὶ τὰ φύσει μονόχροα μὲν ὄντα, τῷ γένει δὲ πολύχροα,
also the by-nature one-colored indeed being in-the kind but many-colored
διὰ τὰ ὕδατα· τὰ μὲν γὰρ θερμὰ λευκὴν ποιεῖ τὴν τρίχα,
because-of the waters the indeed for hot white make the hair
τὰ δὲ ψυχρὰ μέλαιναν, ὥσπερ καὶ ἐπὶ τῶν φυτῶν.
the but cold black just-as also in-the-case-of the plants
Αἴτιον δ' ὅτι τὰ θερμὰ πνεύματος πλέον ἔχει ἢ ὕδατος,
Cause and that the hot of-breath more have than of-water
ὁ δ' ἀὴρ διαφαινόμενος λευκότητα ποιεῖ, καθάπερ καὶ τὸν
the and air showing-through whiteness makes just-as also the
ἀφρόν. Διαφέρει μὲν οὖν, ὥσπερ καὶ τὰ δέρματα τὰ διὰ
foam Differ indeed then just-as also the skins the because-of
πάθος λευκὰ τῶν διὰ τὴν φύσιν, οὕτω καὶ ἐν ταῖς
affection white from-the because-of the nature so also in the
θριξὶν ἥ τε διὰ νόσον ἢ καὶ ἡλικίαν καὶ ἡ διὰ φύσιν
hairs the both because-of disease or also age and the because-of nature
λευκότης τῶν τριχῶν τῷ τὸ αἴτιον ἕτερον εἶναι· τὰς μὲν
whiteness of-the hairs by-the the cause different to-be the-ones indeed
γὰρ ἡ φυσικὴ θερμότης ποιεῖ λευκάς, τὰς δ' ἡ ἀλλοτρία.
for the natural heat makes white the-others but the foreign

Τὸ δὲ λευκὸν ὁ ἀτμιδώδης ἀὴρ παρέχεται ἐγκατακλειόμενος
The and white the vaporous air provides being-shut-in
ἐν πᾶσιν, διὸ καὶ ὅσα μὴ μονόχροά ἐστι, τὰ ὑπὸ τὴν
in all wherefore also as-many-as not one-colored are the under the
γαστέρα πάντα λευκότερά ἐστιν. Καὶ γὰρ θερμότερα καὶ
belly all whiter are And for hotter and
ἡδυκρεώτερα πάντα τὰ λευκὰ ὡς εἰπεῖν ἐστὶ διὰ τὴν αὐτὴν
sweeter-fleshed all the white so to-say are because-of the same
αἰτίαν· ἡ μὲν γὰρ πέψις γλυκέα ποιεῖ, τὴν δὲ πέψιν τὸ
cause the indeed for concoction sweet makes the and concoction the
θερμόν. Ἡ δ' αὐτὴ αἰτία καὶ τῶν μονοχρόων μέν, μελάνων
hot The and same cause also of-the one-colored indeed black
δ' ἢ λευκῶν· θερμότης γὰρ καὶ ψυχρότης αἰτία τῆς φύσεως
but or white heat for and coldness cause of-the nature
τοῦ δέρματος καὶ τῶν τριχῶν· ἔχει γὰρ ἕκαστον τῶν μορίων
of-the skin and of-the hairs has for each of-the parts
θερμότητα οἰκείαν, ἔτι δ' αἱ γλῶτται διαφέρουσι τῶν
heat own further and the tongues differ of-the
ἁπλῶν τε καὶ ποικίλων καὶ τῶν ἁπλῶν μὲν διαφερόντων δέ,
simple both and variegated and of-the simple indeed differing but
οἷον λευκῶν καὶ μελάνων. Αἴτιον δὲ τὸ εἰρημένον πρότερον,
such-as white and black Cause and the said before
ὅτι τὰ δέρματα ποικίλα τῶν ποικίλων, καὶ τῶν λευκοτρίχων
that the skins variegated of-the variegated and of-the white-haired
καὶ τῶν μελανοτρίχων τῶν μὲν λευκὰ τῶν δὲ
and of-the black-haired of-the-ones indeed white of-the-others and
μέλανα. Τὴν δὲ γλῶτταν δεῖ ὑπολαβεῖν ὥσπερ ἓν μόριον
black The and tongue one-must to-suppose just-as one part
τῶν ἐξωτερικῶν εἶναι, μὴ ὅτι ἐν τῷ στόματι σκεπάζεται,
of-the external to-be not because in the mouth it-is-covered

ἀλλ᾽ οἷον χεῖρα ἢ πόδα· ὥστ᾽ ἐπεὶ τῶν ποικίλων τὸ δέρμα
but like hand or foot so-that since of-the variegated the skin
οὐ μονόχρων, καὶ τοῦ ἐπὶ τῇ γλώττῃ δέρματος τοῦτ᾽ αἴτιον.
not one-colored also of-the on the tongue skin this cause
Μεταβάλλουσι δὲ τὰ χρώματα καὶ τῶν ὀρνίθων τινὲς
Change and the colors also of-the birds some
καὶ τῶν τετραπόδων τῶν ἀγρίων ἔνια κατὰ τὰς ὥρας.
and of-the quadrupeds the wild some according-to the seasons
Αἴτιον δ᾽ ὅτι ὥσπερ οἱ ἄνθρωποι κατὰ τὴν ἡλικίαν
Cause and that just-as the humans according-to the age
μεταβάλλουσι, τοῦτ᾽ ἐκείνοις συμβαίνει κατὰ τὰς ὥρας·
change this to-those happens according-to the seasons
μείζων γὰρ διαφορὰ αὕτη τῆς κατὰ τὴν ἡλικίαν τροπῆς.
greater for difference this than-the according-to the age turning
Εἰσὶ δὲ καὶ τὰ παμφαγώτερα ποικιλώτερα ὡς ἐπὶ τὸ
Are and also the more-omnivorous more-variegated as for the
πλῆθος εἰπεῖν εὐλόγως, οἷον αἱ μέλιτται μονόχροα μᾶλλον
most-part to-say reasonably such-as the bees one-colored more
ἢ αἱ ἀνθρῆναι καὶ σφῆκες· εἰ γὰρ αἱ τροφαὶ αἴτιαι τῆς
than the hornets and wasps if for the nourishments causes of-the
μεταβολῆς, εὐλόγως αἱ ποικίλαι τροφαὶ παντοδαπωτέρας
change reasonably the varied nourishments more-various
ποιοῦσι τὰς κινήσεις καὶ τὰ περιττώματα τῆς τροφῆς, ἐξ
make the motions and the residues of-the nourishment from
ὧν καὶ τρίχες καὶ πτίλα καὶ δέρματα γίνεται. Καὶ περὶ
which also hairs and feathers and skins come-to-be And about
μὲν χρωμάτων καὶ τριχῶν διωρίσθω τὸν τρόπον τοῦτον.
indeed colors and hairs let-it-be-determined the way this

Voices differ in pitch, loudness, and smoothness. Deep is not loud: loudness is the quantity of air moved, depth its slowness relative to the mover's strength; so the young and females, too weak to move much air, are high-voiced, while calves and cows, with weak organs moving much air, are deep. The strength lies in the sinews and in the heart, which in bulls is taut and even bony; castration slackens it as removing the weights slackens the loom's warp, so the castrated take a female voice, as the voice also breaks at puberty. Warm breath deepens the voice, and a rough or soft windpipe makes it rough or flexible.

Περὶ δὲ φωνῆς, ὅτι τὰ μὲν βαρύφωνα τῶν ζῴων ἐστί,
About and voice that the-ones indeed deep-voiced of-the animals are
τὰ δ' ὀξύφωνα, τὰ δ' εὔτονα καὶ πρὸς ἀμφοτέρας
the-others and high-voiced the-others and well-pitched and toward both
ἔχοντα τὰς ὑπερβολὰς συμμέτρως, ἔτι δὲ τὰ μὲν
being the extremes proportionately further and the-ones indeed
μεγαλόφωνα τὰ δὲ μικρόφωνα, καὶ λειότητι καὶ
loud-voiced the-others and small-voiced and by-smoothness and
τραχύτητι καὶ εὐκαμψίᾳ καὶ ἀκαμψίᾳ διαφέροντα ἀλλήλων,
roughness and flexibility and inflexibility differing from-one-another
ἐπισκεπτέον διὰ τίνας αἰτίας ὑπάρχει τούτων ἕκαστον.
it-must-be-examined because-of what causes belongs of-these each
Περὶ μὲν οὖν ὀξύτητος καὶ βαρύτητος τὴν αὐτὴν αἰτίαν
About indeed then highness and deepness the same cause
οἰητέον εἶναι ἥνπερ ἐπὶ τῆς μεταβολῆς ἣν
one-must-think to-be which-very in-the-case-of the change which
μεταβάλλει νέα ὄντα καὶ πρεσβύτερα. Τὰ μὲν γὰρ ἄλλα
they-change young being and older The indeed for other
πάντα νεώτερα ὄντα ὀξύτερον φθέγγεται, τῶν δὲ βοῶν
all younger being higher utter of-the but oxen
οἱ μόσχοι βαρύτερον. Τὸ δ' αὐτὸ συμβαίνει καὶ ἐπὶ
the calves deeper The and same happens also in-the-case-of

τῶν ἀρρένων καὶ θηλειῶν· ἐν μὲν γὰρ τοῖς ἄλλοις γένεσι
the males and females in indeed for the other kinds
τὸ θῆλυ ὀξύτερον φθέγγεται τοῦ ἄρρενος (μάλιστα δ'
the female higher utters than-the male most and
ἐπίδηλον ἐπὶ τῶν ἀνθρώπων τοῦτο· μάλιστα γὰρ
evident in-the-case-of the humans this most for
τούτοις ταύτην τὴν δύναμιν ἀποδέδωκεν ἡ φύσις διὰ
to-these this the power has-given the nature because-of
τὸ λόγῳ χρῆσθαι μόνους τῶν ζῴων, τοῦ δὲ λόγου ὕλην
the speech to-use alone of-the animals of-the and speech matter
εἶναι τὴν φωνήν), ἐπὶ δὲ τῶν βοῶν τοὐναντίον·
to-be the voice in-the-case-of but the oxen the-opposite
βαρύτερον γὰρ αἱ θήλειαι φθέγγονται τῶν ταύρων.
deeper for the females utter than-the bulls
Τίνος μὲν οὖν ἕνεκα φωνὴν ἔχει τὰ ζῷα, καὶ τί ἐστι
Of-what indeed then for-the-sake voice have the animals and what is
φωνὴ καὶ ὅλως ὁ ψόφος, τὰ μὲν ἐν τοῖς περὶ αἰσθήσεως
voice and generally the sound the-ones indeed in the about perception
εἴρηται, τὰ δ' ἐν τοῖς περὶ ψυχῆς. Ἐπεὶ δὲ βαρὺ
it-has-been-said the-others and in the about soul Since and deep
μέν ἐστιν ἐν τῷ βραδεῖαν εἶναι τὴν κίνησιν, ὀξὺ δ' ἐν
indeed is in the slow to-be the motion high and in
τῷ ταχεῖαν, τοῦ δὲ βραδέως ἢ ταχέως πότερον τὸ κινοῦν
the quick of-the and slowly or quickly whether the moving
αἴτιον ἢ τὸ κινούμενον, ἔχει τινὰ ἀπορίαν. Φασὶ γάρ τινες
cause or the being-moved has some puzzle Say for some
τὸ μὲν πολὺ βραδέως κινεῖσθαι, τὸ δ' ὀλίγον ταχέως, καὶ
the indeed much slowly to-be-moved the but little quickly and
ταύτην αἰτίαν εἶναι τοῦ τὰ μὲν βαρύφωνα εἶναι τὰ
this cause to-be of-the the-ones indeed deep-voiced to-be the-others
δ' ὀξύφωνα, λέγοντες μέχρι τινὸς καλῶς, ὅλως δ' οὐ
and high-voiced saying up-to some-point well generally but not

καλῶς. Τῷ μὲν γὰρ γένει ὀρθῶς ἔοικε λέγεσθαι τὸ βαρὺ ἐν
well By-the indeed for kind rightly seems to-be-said the deep in
μεγέθει τινὶ εἶναι τοῦ κινουμένου. Εἰ γὰρ τοῦτο, καὶ μικρὸν
size some to-be of-the being-moved If for this both small
καὶ βαρὺ φθέγξασθαι οὐ ῥᾴδιον, ὁμοίως δὲ οὐδὲ βαρὺ καὶ
and deep to-utter not easy likewise and nor deep and
ὀξύ. Καὶ δοκεῖ γενναιοτέρας εἶναι φύσεως ἡ βαρυφωνία,
high And seems of-nobler to-be nature the deep-voicedness
καὶ ἐν τοῖς μέλεσι τὸ βαρὺ τῶν συντόνων βέλτιον· τὸ
and in the songs the deep than-the tense better the
γὰρ βέλτιον ἐν ὑπεροχῇ, ἡ δὲ βαρύτης ὑπεροχή τις.
for better in excess the and deepness excess some
Ἀλλ' ἐπειδή ἐστιν ἕτερον τὸ βαρὺ καὶ ὀξὺ ἐν φωνῇ
But since is other the deep and high in voice
μεγαλοφωνίας καὶ μικροφωνίας (ἔστι γὰρ καὶ ὀξύφωνα
than-loudness and smallness-of-voice there-are for also high-voiced
μεγαλόφωνα, καὶ μικρόφωνα βαρύφωνα ὡσαύτως), ὁμοίως
loud-voiced and small-voiced deep-voiced likewise likewise
δὲ καὶ κατὰ τὸν μέσον τόνον τούτων· περὶ ὧν τίνι
and also according-to the middle pitch of-these about which by-what
ἄν τις ἄλλῳ διορίσειεν (λέγω δὲ μεγαλοφωνίαν καὶ
— someone other would-distinguish I-mean and loudness and
μικροφωνίαν) ἢ πλήθει καὶ ὀλιγότητι τοῦ κινουμένου; Εἰ
smallness-of-voice than by-quantity and fewness of-the being-moved If
οὖν κατὰ τὸν λεγόμενον ἔσται διορισμὸν τὸ ὀξὺ καὶ βαρύ,
then according-to the said will-be distinction the high and deep
συμβήσεται τὰ αὐτὰ εἶναι βαρύφωνα καὶ μεγαλόφωνα καὶ
it-will-happen the same to-be deep-voiced and loud-voiced and
ὀξύφωνα καὶ μικρόφωνα. Τοῦτο δὲ ψεῦδος. Αἴτιον δ' ὅτι
high-voiced and small-voiced This and false Cause and that
τὸ μέγα καὶ τὸ μικρὸν καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον τὰ
the great and the small and the much and the little the-ones

μὲν ἁπλῶς λέγεται, τὰ δὲ πρὸς ἄλληλα. Μεγαλόφωνα
indeed simply are-said the-others and relative-to one-another Loud-voiced
μὲν οὖν ἐστὶν ἐν τῷ πολὺ ἁπλῶς εἶναι τὸ κινούμενον,
indeed then are in the much simply to-be the being-moved
μικρόφωνα δὲ τῷ ὀλίγον, βαρύφωνα δὲ καὶ ὀξύφωνα ἐν
small-voiced and in-the little deep-voiced and and high-voiced in
τῷ πρὸς ἄλληλα ταύτην ἔχειν τὴν διαφοράν. Ἐὰν μὲν γὰρ
the relative-to one-another this to-have the difference If indeed for
ὑπερέχῃ τὸ κινούμενον τῆς τοῦ κινοῦντος ἰσχύος, ἀνάγκη
exceed the being-moved the of-the moving strength necessary
βραδέως φέρεσθαι τὸ φερόμενον, ἂν δ' ὑπερέχηται, ταχέως.
slowly to-be-carried the being-carried if but it-be-exceeded quickly
Τὸ δ' ἰσχῦον διὰ τὴν ἰσχὺν ὁτὲ μὲν πολὺ κινοῦν
The and strong because-of the strength at-times indeed much moving
βραδεῖαν ποιεῖ τὴν κίνησιν, ὁτὲ δὲ διὰ τὸ κρατεῖν
slow makes the motion at-times and because-of the to-prevail
ταχεῖαν. Κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ τῶν κινούντων τὰ
quick According-to the same and ratio also of-the moving the
ἀσθενῆ τὰ μὲν πλείω κινοῦντα τῆς δυνάμεως βραδεῖαν
weak the-ones indeed more moving than-the power slow
ποιεῖ τὴν κίνησιν, τὰ δὲ δι' ἀσθένειαν ὀλίγον
make the motion the-others and because-of weakness little
κινοῦντα ταχεῖαν. Αἱ μὲν οὖν αἰτίαι τῶν ἐναντιώσεων
moving quick The indeed then causes of-the contrarieties
αὗται, τοῦ μήτε πάντα τὰ νέα ὀξύφωνα εἶναι μήτε
these of-the neither all the young high-voiced to-be nor
βαρύφωνα, μήτε τὰ πρεσβύτερα, μήτε τὰ ἄρρενα καὶ
deep-voiced nor the older nor the males and
θήλεα, πρὸς δὲ τούτοις καὶ τοῦ τοὺς κάμνοντας ὀξὺ
females in-addition and to-these also of-the the sick high
φθέγγεσθαι καὶ τοὺς εὖ τὸ σῶμα ἔχοντας, ἔτι δὲ
to-utter and the well the body having further and

καὶ γέροντας γινομένους μᾶλλον ὀξυφωνοτέρους γίνεσθαι,
also old becoming more higher-voiced to-become
τῆς ἡλικίας ἐναντίας οὔσης τῇ τῶν νέων. Τὰ μὲν οὖν
the age opposite being to-the of-the young The indeed then
πλεῖστα νεώτερα ὄντα καὶ θήλεα δι' ἀδυναμίαν ὀλίγον
most younger being and female because-of incapacity little
κινοῦντα ἀέρα ὀξύφωνά ἐστιν· ταχὺ γὰρ ὁ ὀλίγος φέρεται,
moving air high-voiced are quickly for the little is-carried
τὸ δὲ ταχὺ ὀξὺ ἐν φωνῇ. Οἱ δὲ μόσχοι καὶ αἱ βόες αἱ
the but quick high in voice The and calves and the cows the
θήλειαι, οἱ μὲν διὰ τὴν ἡλικίαν, αἱ δὲ διὰ τὴν
female the indeed because-of the age the-others and because-of the
φύσιν τῆς θηλύτητος, οὐκ ἰσχυρὸν ἔχουσι τὸ μόριον ᾧ
nature of-the femaleness not strong have the part with-which
κινοῦσι, πολὺ δὲ κινοῦντα βαρύφθογγά ἐστιν· βαρὺ γὰρ τὸ
they-move much but moving deep-voiced are deep for the
βραδέως φερόμενον, ὁ δὲ πολὺς ἀὴρ φέρεται βραδέως.
slowly carried the and much air is-carried slowly
Πολὺν δὲ κινοῦσι ταῦτα, τὰ δ' ἄλλ' ὀλίγον, διὰ τὸ τὸ
Much and move these the but others little because-of the the
ἀγγεῖον δι' οὗ πρῶτον φέρεται τὸ πνεῦμα, τούτοις μὲν
vessel through which first is-carried the breath for-these indeed
διάστημ' ἔχειν μέγα καὶ πολὺν ἀναγκάζεσθαι ἀέρα κινεῖν,
interval to-have great and much to-be-compelled air to-move
τοῖς δ' ἄλλοις εὐταμίευτον εἶναι. Προϊούσης δὲ τῆς ἡλικίας
for-the but others easily-regulated to-be Advancing and the age
ἰσχύει μᾶλλον τοῦτο τὸ μόριον τὸ κινοῦν ἐν ἑκάστοις,
is-strong more this the part the moving in each
ὥστε μεταβάλλουσιν εἰς τοὐναντίον, καὶ τὰ μὲν ὀξύφωνα
so-that they-change into the-opposite and the indeed high-voiced
βαρυφωνότερα γίνεται αὐτὰ αὑτῶν, τὰ δὲ βαρύφωνα
deeper-voiced become themselves than-themselves the but deep-voiced

ὀξυφωνότερα· διόπερ οἱ ταῦροι ὀξυφωνότεροι τῶν μόσχων
higher-voiced wherefore the bulls higher-voiced than-the calves
καὶ τῶν θηλειῶν βοῶν. Ἔστι μὲν οὖν πᾶσιν ἡ ἰσχὺς
and the female cows Is indeed then in-all the strength
ἐν τοῖς νεύροις, διὸ καὶ τὰ ἀκμάζοντα ἰσχύει μᾶλλον.
in the sinews wherefore also the in-their-prime are-strong more
Ἄναρθρα γὰρ τὰ νέα μᾶλλον καὶ ἄνευρα. Ἔτι δὲ τοῖς
Unjointed for the young more and sinewless Further and in-the
μὲν νέοις οὔπω ἐπιτέταται, τοῖς δὲ γηράσκουσιν ἤδη
indeed young not-yet it-is-tightened in-the but aging already
ἀνίεται ἡ συντονία· διὸ ἄμφω ἀσθενῆ καὶ ἀδύνατα
it-is-slackened the tension wherefore both weak and incapable
πρὸς τὴν κίνησιν. Μάλιστα δ' οἱ ταῦροι νευρώδεις, καὶ ἡ
toward the motion Most and the bulls sinewy and the
καρδία· διόπερ σύντονον ἔχουσι τοῦτο τὸ μόριον ᾧ
heart wherefore taut they-have this the part with-which
κινοῦσι τὸ πνεῦμα, ὥσπερ χορδὴν τεταμένην νευρίνην.
they-move the breath just-as string stretched of-sinew
Δηλοῖ δὲ τοιαύτη τὴν φύσιν οὖσα ἡ καρδία τῶν βοῶν
Shows and such in-the nature being the heart of-the oxen
τῷ καὶ ὀστοῦν ἐγγίνεσθαι ἐν ἐνίαις αὐτῶν· τὰ δ' ὀστᾶ
by-the also bone to-come-to-be-in in some of-them the and bones
ζητεῖ τὴν τοῦ νεύρου φύσιν. Ἐκτεμνόμενα δὲ πάντα εἰς
seek the of-the sinew nature Being-castrated and all into
τὸ θῆλυ μεταβάλλει, καὶ διὰ τὸ ἀνίεσθαι τὴν ἰσχὺν
the female change and because-of the to-be-slackened the strength
τὴν νευρώδη ἐν τῇ ἀρχῇ ὁμοίαν ἀφίησι φωνὴν τοῖς
the sinewy in the principle like they-emit voice to-the
θήλεσιν. Ἡ δ' ἄνεσις παραπλησία γίνεται ὥσπερ ἂν εἴ
females The and slackening similar comes-about just-as — if
τις χορδὴν κατατείνας σύντονον ποιήσειε τῷ ἐξάψαι τι
someone string having-stretched taut should-make by-the to-hang some

βάρος, οἷον δὴ ποιοῦσιν αἱ τοὺς ἱστοὺς ὑφαίνουσαι· καὶ
weight such-as indeed make the the looms weaving and
γὰρ αὗται τὸν στήμονα κατατείνουσι προσάπτουσαι τὰς
for these the warp stretch attaching the
καλουμένας λαιάς. Οὕτω γὰρ καὶ ἡ τῶν ὄρχεων φύσις
so-called loom-weights So for also the of-the testes nature
προσήρτηται πρὸς τοὺς σπερματικοὺς πόρους, οὗτοι δ' ἐκ
is-attached to the seminal ducts these and from
τῆς φλεβός, ἧς ἡ ἀρχὴ ἐκ τῆς καρδίας πρὸς αὐτῷ τῷ
the vein of-which the principle from the heart at itself the
κινοῦντι τὴν φωνήν. Διὸ καὶ τῶν σπερματικῶν πόρων
moving the voice Wherefore also the seminal ducts
μεταβαλλόντων πρὸς τὴν ἡλικίαν, ἐν ᾗ ἤδη δύνανται
changing toward the age in which already they-can
τὸ σπέρμα ἐκκρίνειν, συμμεταβάλλει καὶ τοῦτο τὸ μόριον.
the seed to-secrete changes-with also this the part
Τούτου δὲ μεταβάλλοντος καὶ ἡ φωνὴ μεταβάλλει, μᾶλλον
This and changing also the voice changes more
μὲν τοῖς ἄρρεσιν, συμβαίνει δὲ ταὐτὸ καὶ ἐπὶ τῶν
indeed in-the males happens and the-same also in-the-case-of the
θηλειῶν, ἀλλ' ἀδηλότερον, καὶ γίνεται ὃ καλοῦσί τινες
females but less-plainly and comes-about what call some
τραγίζειν, ὅταν ἀνώμαλος ᾖ ἡ φωνή. Μετὰ δὲ ταῦτα
to-bleat-like-a-goat when uneven be the voice After and these
καθίσταται εἰς τὴν τῆς ἐπιούσης ἡλικίας βαρύτητα ἢ
it-settles into the of-the coming age deepness or
ὀξυφωνίαν. Ἀφαιρουμένων δὲ τῶν ὄρχεων ἀνίεται ἡ τάσις
high-voicedness Being-removed and the testes is-slackened the tension
τῶν πόρων, ὥσπερ ἀπὸ τῆς χορδῆς καὶ τοῦ στήμονος
of-the ducts just-as from the string and the warp
ἀφαιρουμένου τοῦ βάρους. Τούτου δ' ἀνιεμένου καὶ ἡ
being-removed the weight This and being-slackened also the

ἀρχὴ ἡ κινοῦσα τὴν φωνὴν ἐκλύεται κατὰ τὸν αὐτὸν
principle the moving the voice is-loosened according-to the same
λόγον. Διὰ μὲν οὖν ταύτην τὴν αἰτίαν τὰ ἐκτεμνόμενα
ratio Because-of indeed then this the cause the being-castrated
μεταβάλλει εἰς τὸ θῆλυ τήν τε φωνὴν καὶ τὴν ἄλλην
change into the female the both voice and the other
μορφήν, διὰ τὸ συμβαίνειν ἀνίεσθαι τὴν ἀρχὴν ἐξ ἧς
shape because-of the to-happen to-be-slackened the principle from which
ὑπάρχει τῷ σώματι ἡ συντονία, ἀλλ᾽ οὐχ ὥσπερ τινὲς
belongs to-the body the tension but not just-as some
ὑπολαμβάνουσιν αὐτοὺς τοὺς ὄρχεις εἶναι σύναμμα πολλῶν
suppose themselves the testes to-be junction of-many
ἀρχῶν· ἀλλὰ μικραὶ μεταστάσεις μεγάλων αἰτίαι γίνονται,
principles but small displacements of-great causes become
οὐ δι᾽ αὑτάς, ἀλλ᾽ ὅταν συμβαίνῃ ἀρχὴν συμμεταβάλλειν.
not because-of themselves but when it-happen principle to-change-with
Αἱ γὰρ ἀρχαὶ μεγέθει οὖσαι μικραὶ τῇ δυνάμει μεγάλαι
The for principles in-size being small in-the power great
εἰσίν· τοῦτο γάρ ἐστι τὸ ἀρχὴν εἶναι, τὸ αὐτὴν μὲν
are this for is the principle to-be the itself indeed
αἰτίαν εἶναι πολλῶν, ταύτης δ᾽ ἄλλο ἄνωθεν μηθέν. Τοῦ
cause to-be of-many of-this but other above nothing Of-the
δὲ φύσει τὰ μὲν τοιαῦτα συνίστασθαι τῶν ζῴων ὥστε
and by-nature the-ones indeed such to-be-constituted of-the animals so-that
βαρύφωνα εἶναι, τὰ δ᾽ ὀξύφωνα, συμβάλλεται καὶ ἡ
deep-voiced to-be the-others and high-voiced contributes also the
θερμότης τοῦ τόπου καὶ ἡ ψυχρότης. Τὸ μὲν γὰρ θερμὸν
heat of-the place and the coldness The indeed for hot
πνεῦμα διὰ παχύτητα ποιεῖ βαρυφωνίαν, τὸ δὲ ψυχρὸν
breath because-of thickness makes deep-voicedness the but cold
διὰ λεπτότητα τοὐναντίον. Δῆλον δὲ τοῦτο καὶ ἐπὶ
because-of thinness the-opposite Clear and this also in-the-case-of

τῶν αὐλῶν· οἱ γὰρ θερμοτέρῳ τῷ πνεύματι χρώμενοι, καὶ
the pipes those for with-hotter the breath using and
τοιοῦτον προϊέμενοι οἷον οἱ αἰάζοντες, βαρύτερον αὐλοῦσιν.
such emitting as those wailing deeper pipe
Τῆς δὲ τραχυφωνίας αἴτιον, καὶ τοῦ λείαν εἶναι τὴν φωνήν,
Of-the and rough-voicedness cause and of-the smooth to-be the voice
καὶ πάσης τῆς τοιαύτης ἀνωμαλίας, τὸ τὸ μόριον καὶ τὸ
and of-all the such unevenness the the part and the
ὄργανον δι' οὗ φέρεται ἡ φωνὴ ἢ τραχὺ ἢ λεῖον εἶναι
instrument through which is-carried the voice either rough or smooth to-be
ἢ ὅλως ὁμαλὸν ἢ ἀνώμαλον. Δῆλον δ' ὅταν ὑγρότης τις
or generally even or uneven Clear and when moisture some
ὑπάρχῃ περὶ τὴν ἀρτηρίαν ἢ τραχύτης γένηται ὑπό τινος
be-present about the windpipe or roughness come-about by some
πάθους· τότε γὰρ καὶ ἡ φωνὴ γίνεται ἀνώμαλος. Τῆς δ'
affection then for also the voice becomes uneven Of-the and
εὐκαμψίας, ἂν μαλακὸν ἢ σκληρὸν ᾖ τὸ ὄργανον. Τὸ μὲν
flexibility if soft or hard be the instrument The indeed
γὰρ μαλακὸν δύναται ταμιεύεσθαι καὶ παντοδαπὸν γίνεσθαι,
for soft can to-be-regulated and of-every-kind to-become
τὸ δὲ σκληρὸν οὐ δύναται. Καὶ τὸ μὲν μαλακὸν καὶ μικρὸν
the but hard not can And the indeed soft both small
δύναται καὶ μέγα φθέγγεσθαι, διὸ καὶ ὀξὺ καὶ βαρύ·
can and great to-utter wherefore also high and deep
ταμιεύεται γὰρ ῥᾳδίως τοῦ πνεύματος, καὶ αὐτὸ γινόμενον
it-regulates for easily the breath and itself becoming
ῥᾳδίως μέγα καὶ μικρόν· ἡ δὲ σκληρότης ἀταμίευτον. Περὶ
easily great and small the but hardness unregulable About
μὲν οὖν φωνῆς ὅσα μὴ πρότερον ἐν τοῖς περὶ αἰσθήσεως
indeed then voice as-many-as not before in the about perception
διώρισται καὶ ἐν τοῖς περὶ ψυχῆς, τοσαῦτ' εἰρήσθω.
has-been-determined and in the about soul so-much let-it-be-said

The front teeth come before the molars, and they fall out and grow again while the molars do not. Democritus says they fall because they grow too early, from suckling, but the pig suckles and keeps them, as do some saw-toothed ones. The front teeth come first because their work, cutting, precedes grinding and they are smaller; they fall because they blunt and must be replaced, and because their roots sit in thin bone, while the molars go on growing, the last about the twentieth year and in some only in old age. Democritus, neglecting the final cause, reduces all to necessity; the causes are both, like a surgeon's knife used for health.

Περὶ δὲ ὀδόντων, ὅτι μὲν οὐχ ἑνὸς χάριν, οὐδὲ πάντα
About and teeth that indeed not of-one for-the-sake nor all
τοῦ αὐτοῦ ἕνεκεν τὰ ζῷα ἔχουσιν, ἀλλὰ τὰ μὲν
of-the same for-the-sake the animals have but the-ones indeed
διὰ τὴν τροφήν, τὰ δὲ καὶ πρὸς ἀλκὴν καὶ πρὸς
because-of the nourishment the-others and also for defense and for
τὸν ἐν τῇ φωνῇ λόγον, εἴρηται πρότερον· διότι δ' οἱ
the in the voice speech it-has-been-said before why and the
μὲν πρόσθιοι γίνονται πρότερον οἱ δὲ γόμφιοι ὕστερον,
indeed front come-to-be earlier the but molars later
καὶ οὗτοι μὲν οὐκ ἐκπίπτουσιν, ἐκεῖνοι δ' ἐκπίπτουσι
and these indeed not fall-out those but fall-out
καὶ φύονται πάλιν, τοῖς περὶ γενέσεως λόγοις τὴν αἰτίαν
and grow again to-the about generation discourses the cause
συγγενῆ δεῖ νομίζειν. Εἴρηκε μὲν οὖν περὶ αὐτῶν
akin one-must to-think Has-spoken indeed then about them
καὶ Δημόκριτος, οὐ καλῶς δ' εἴρηκεν. Οὐ γὰρ ἐπὶ
also Democritus not well but he-has-spoken Not for in-the-case-of
πάντων σκεψάμενος καθόλου λέγει τὴν αἰτίαν. Φησὶ γὰρ
all having-examined universally he-tells the cause He-says for
ἐκπίπτειν μὲν διὰ τὸ πρὸ ὥρας γίνεσθαι τοῖς ζῴοις·
to-fall-out indeed because-of the before season to-come-about to-the animals

ἀκμαζόντων γὰρ ὡς εἰπεῖν φύεσθαι κατά γε φύσιν.
being-in-their-prime for so to-say to-grow according-to at-least nature
Τοῦ δὲ πρὸ ὥρας γίνεσθαι τὸ θηλάζειν αἰτιᾶται. Καίτοι
Of-the and before season to-come-about the to-suck he-blames And-yet
θηλάζει γε καὶ ὗς, οὐκ ἐκβάλλει δὲ τοὺς ὀδόντας· ἔτι
sucks at-least also pig not casts-off but the teeth further
δὲ τὰ καρχαρόδοντα θηλάζει μὲν πάντα, οὐκ ἐκβάλλει
and the saw-toothed suck indeed all not cast-off
δ' ἔνια αὐτῶν πλὴν τοὺς κυνόδοντας, οἷον οἱ λέοντες.
but some of-them except the canines such-as the lions
Τοῦτο μὲν οὖν ἥμαρτε καθόλου λέγων, οὐ σκεψάμενος τὸ
This indeed then he-erred universally speaking not having-examined the
συμβαῖνον ἐπὶ πάντων, δεῖ δὲ τοῦτο ποιεῖν· ἀνάγκη
happening in-the-case-of all one-must and this to-do necessary
γὰρ τὸν λέγοντα καθόλου τι λέγειν περὶ πάντων. Ἐπεὶ
for the speaking universally something to-speak about all Since
δὲ τὴν φύσιν ὑποτιθέμεθα, ἐξ ὧν ὁρῶμεν ὑποτιθέμενοι,
and the nature we-assume from what we-see assuming
οὔτ' ἐλλείπουσαν οὔτε μάταιον οὐθὲν ποιοῦσαν τῶν
neither falling-short nor vain anything making of-the
ἐνδεχομένων περὶ ἕκαστον, ἀνάγκη δὲ τοῖς μέλλουσι
possible about each necessary and for-those going-to
λαμβάνειν τροφὴν μετὰ τὴν τοῦ γάλακτος ἀπόλαυσιν ἔχειν
to-take nourishment after the of-the milk enjoyment to-have
ὄργανα πρὸς τὴν ἐργασίαν τῆς τροφῆς· εἰ οὖν συνέβαινεν,
instruments toward the working of-the nourishment if then it-happened
ὡς ἐκεῖνος λέγει, πρὸς ἥβην, ἐνέλειπεν ἂν ἡ φύσις τῶν
as that-one says toward puberty would-fall-short — the nature of-the
ἐνδεχομένων αὐτῇ τι ποιεῖν, καὶ τὸ τῆς φύσεως ἔργον
possible for-it something to-do and the of-the nature work
ἐγίγνετ' ἂν παρὰ φύσιν. Τὸ γὰρ βίᾳ παρὰ φύσιν, βίᾳ
would-come-about — against nature The for by-force against nature by-force

δέ φησι συμβαίνειν τὴν γένεσιν τῶν ὀδόντων. Ὅτι μὲν
and he-says to-happen the generation of-the teeth That indeed
οὖν τοῦτ᾽ οὐκ ἀληθές, φανερὸν ἐκ τούτων καὶ τοιούτων
then this not true plain from these and such
ἄλλων. Γίνονται δὲ πρότερον οὗτοι τῶν πλατέων πρῶτον
others Come-to-be and earlier these than-the broad first
μὲν ὅτι καὶ τὸ ἔργον τὸ τούτων πρότερον (πρότερον γάρ
indeed because also the work the of-these earlier earlier for
ἐστι τοῦ λεᾶναι τὸ διελεῖν, εἰσὶ δ᾽ ἐκεῖνοι μὲν ἐπὶ τῷ
is than-the to-grind the to-divide are and those indeed for the
λεαίνειν, οὗτοι δ᾽ ἐπὶ τῷ διαιρεῖν), ἔπειθ᾽ ὅτι τὸ ἔλαττον,
grinding these and for the dividing then because the smaller
κἂν ἅμα ὁρμηθῇ, θᾶττον γίνεσθαι πέφυκε τοῦ μείζονος.
even-if together it-start faster to-come-to-be is-natural than-the greater
Εἰσὶ δ᾽ ἐλάττους οὗτοι τῷ μεγέθει τῶν γομφίων, καὶ τὸ
Are and smaller these in-the size than-the molars and the
ὀστοῦν τῆς σιαγόνος ἐκεῖ μὲν πλατὺ εἶναι, πρὸς δὲ τῷ
bone of-the jaw there indeed broad to-be at but the
στόματι στενόν. Ἐκ μὲν οὖν τοῦ μείζονος πλείω ἀναγκαῖον
mouth narrow From indeed then the greater more necessary
ἐπιρρεῖν τροφήν, ἐκ δὲ τοῦ ἐλάττονος στενωτέραν. Τὸ δὲ
to-flow-on nourishment from and the smaller narrower The and
θηλάζειν αὐτὸ μὲν οὐθὲν συμβάλλεται, ἡ δὲ τοῦ γάλακτος
to-suck itself indeed nothing contributes the but of-the milk
θερμότης ποιεῖ θᾶττον βλαστάνειν τοὺς ὀδόντας. Σημεῖον
heat makes faster to-sprout the teeth Sign
δ᾽ ὅτι καὶ αὐτῶν τῶν θηλαζόντων τὰ θερμοτέρῳ γάλακτι
and that also themselves of-the sucking-ones the hotter milk
χρώμενα τῶν παιδίων ὀδοντοφυεῖ θᾶττον· αὐξητικὸν
using of-the children teethe faster promotive-of-growth
γὰρ τὸ θερμόν. Ἐκπίπτουσι δὲ γενόμενοι τοῦ μὲν
for the hot Fall-out and having-come-to-be of-the indeed

βελτίονος χάριν, ὅτι ταχὺ ἀμβλύνεται τὸ ὀξύ· δεῖ οὖν
better for-the-sake because quickly is-blunted the sharp it-must then
ἑτέρους διαδέχεσθαι πρὸς τὸ ἔργον. Τῶν δὲ πλατέων οὐκ
others to-succeed for the work Of-the but broad not
ἔστιν ἀμβλύτης, ἀλλὰ τῷ χρόνῳ τριβόμενοι λεαίνονται
is bluntness but by-the time being-rubbed they-are-smoothed
μόνον. Ἐξ ἀνάγκης δ' ἐκπίπτουσιν, ὅτι τῶν μὲν
only From necessity and they-fall-out because of-the-ones indeed
ἐν πλατείᾳ τῇ σιαγόνι καὶ ἰσχυρῷ ὀστῷ αἱ ῥίζαι εἰσί,
in broad the jaw and strong bone the roots are
τῶν δὲ προσθίων ἐν λεπτῷ, διὸ ἀσθενεῖς καὶ εὐκίνητοι.
of-the but front in thin wherefore weak and easily-moved
Φύονται δὲ πάλιν, ὅτι ἐν φυομένῳ ἔτι τῷ ὀστῷ ἡ
They-grow and again because in growing still the bone the
ἐκβολὴ γίνεται καὶ ἔτι ὥρας οὔσης γίνεσθαι ὀδόντας.
shedding comes-about and still season being to-come-to-be teeth
Τούτου δὲ σημεῖον ὅτι καὶ οἱ πλατεῖς φύονται πολὺν
Of-this and sign that also the broad grow much
χρόνον· οἱ γὰρ τελευταῖοι ἀνατέλλουσι περὶ τὰ εἴκοσιν
time the for last rise-up about the twenty
ἔτη, ἐνίοις δ' ἤδη καὶ γηράσκουσι γεγένηται οἱ ἔσχατοι
years in-some and already even aging have-come-to-be the last
παντελῶς διὰ τὸ πολλὴν εἶναι τροφὴν ἐν τῇ εὐρυχωρίᾳ
completely because-of the much to-be nourishment in the roominess
τοῦ ὀστοῦ. Τὸ δὲ πρόσθιον διὰ τὴν λεπτότητα ταχὺ
of-the bone The but front because-of the thinness quickly
λαμβάνει τέλος, καὶ οὐ γίνεται περίττωμα ἐν αὐτῷ,
takes end and not comes-about residue in it
ἀλλ' εἰς τὴν αὔξησιν ἀναλίσκεται ἡ τροφὴ τὴν οἰκείαν.
but into the growth is-used-up the nourishment the own
Δημόκριτος δὲ τὸ οὗ ἕνεκα ἀφεὶς λέγειν, πάντα
Democritus and the of-which for-the-sake having-omitted to-tell all

ἀνάγει εἰς ἀνάγκην οἷς χρῆται ἡ φύσις, οὖσι μὲν
refers to necessity which uses the nature being indeed
τοιούτοις, οὐ μὴν ἀλλ' ἕνεκά τινος οὖσι, καὶ τοῦ
such not truly but for-the-sake of-something being and of-the
περὶ ἕκαστον βελτίονος χάριν. Ὥστε γίνεσθαι μὲν οὐθὲν
about each better for-the-sake So-that to-come-to-be indeed nothing
κωλύει οὕτω καὶ ἐκπίπτειν, ἀλλ' οὐ διὰ ταῦτα, ἀλλὰ
prevents so also to-fall-out but not because-of these but
διὰ τὸ τέλος· ταῦτα δ' ὡς κινοῦντα καὶ ὄργανα καὶ ὡς
because-of the end these but as moving and instruments and as
ὕλη αἴτια, ἐπεὶ καὶ τὸ τῷ πνεύματι ἐργάζεσθαι τὰ πολλὰ
matter causes since also the by-the breath to-work the many-things
εἰκὸς ὡς ὀργάνῳ· οἷον γὰρ ἔνια πολύχρηστά ἐστι τῶν
likely as by-instrument as for some much-used are of-the
περὶ τὰς τέχνας, ὥσπερ ἐν τῇ χαλκευτικῇ ἡ σφύρα καὶ ὁ
about the arts just-as in the smithing the hammer and the
ἄκμων, οὕτως καὶ τὸ πνεῦμα ἐν τοῖς φύσει συνεστῶσιν.
anvil so also the breath in the by-nature constituted
Ὅμοιον δ' ἔοικε τὸ λέγειν τὰ αἴτια ἐξ ἀνάγκης κἂν εἴ
Like and seems the to-tell the causes from necessity even if
τις διὰ τὸ μαχαίριον οἴοιτο τὸ ὕδωρ ἐξεληλυθέναι
someone because-of the knife should-think the water to-have-come-out
μόνον τοῖς ὑδρωπιῶσιν, ἀλλ' οὐ διὰ τὸ ὑγιαίνειν οὗ
only for-the dropsical but not because-of the to-be-healthy of-which
ἕνεκα τὸ μαχαίριον ἔτεμεν. Περὶ μὲν οὖν ὀδόντων, διότι
for-the-sake the knife cut About indeed then teeth why
οἱ μὲν ἐκπίπτουσι καὶ γίνονται πάλιν, οἱ δ' οὔ, καὶ
the-ones indeed fall-out and come-to-be again the-others but not and
ὅλως διὰ τίν' αἰτίαν γίνονται, εἴρηται. Εἴρηται δὲ
generally because-of what cause they-come-to-be it-has-been-said It-has-been-said and
καὶ περὶ τῶν ἄλλων τῶν κατὰ τὰ μόρια παθημάτων,
also about the other the according-to the parts affections

ὅσα	γίνεσθαι	συμβαίνει	μὴ	ἕνεκά	του	ἀλλ᾽	ἐξ
as-many-as	*to-come-to-be*	*happens*	*not*	*for-the-sake*	*of-something*	*but*	*from*

ἀνάγκης	καὶ	διὰ	τὴν	αἰτίαν	τὴν	κινητικήν.
necessity	*and*	*because-of*	*the*	*cause*	*the*	*moving*